# ΛΟΓΟΣ ΑΝΕΚΔΟΤΟΣ
# ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΑΡΜΕΝΟΠΟΥΛΟΥ
## ΕΙΣ ΤΗΝ ΠΡΟΕΟΡΤΙΟΝ ΕΟΡΤΗΝ ΤΟΥ ΑΓΙΟΥ ΔΗΜΗΤΡΙΟΥ

Ἐν τῷ ὑπ' ἀριθ. 2118 (suppl. 118) χειρογράφῳ κώδικι τῆς Ἐθνικῆς Βιβλιοθήκης τῆς Ἑλλάδος [1] περιέχεται (φ. 3r - 22r) λόγος *«τοῦ πανσεβάστου Νομοφύλακος καὶ Κριτοῦ Θεσσαλονίκης Κωνσταντίνου τοῦ Ἁρμενοπούλου*

---

[1] Τὸ χφ. τοῦτο, ἀνῆκον ἄλλοτε εἰς τὸ ἑλλ. Γυμνάσιον Θεσσαλονίκης, ὑπ' ἀριθ. 49, περιεγράφη συντόμως ὑπὸ τοῦ D. Serruys, ἐν Revue des Bibliothèques 13 (1903) 60. Ἡ λεπτομερεστέρα περιγραφὴ τοῦ κώδικος ἔχει ὡς ἑξῆς: Διαστάσεις 0.220×0.145. Χαρτῷος (πλὴν τῶν φ. 158 - 177 ὄντων ἐκ περγαμηνῆς) ἐκ φ. 233 ἠριθμημένων μεταγενεστέρως καὶ ὑπὸ τὴν σημερινὴν μορφήν του (διότι, ὡς ἐλέγχεται ἐκ τοῦ ἐν φ. 2 Πίνακος περιεχομένων, μεταξὺ τῶν φ. 22/23 ὑπῆρχον ἄλλα δέκα φύλλα, ἐκπεσόντα μεταγενεστέρως, περιέχοντα δέ: *«Λέοντος τοῦ ἀοιδίμου βασιλέως Ἐγκώμιον εἰς τὸν ἀοίδιμον στεφανίτην Δημήτριον»*, ἀρχ. *«θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς...»* καὶ τὴν ἀρχὴν τοῦ ὑπ' ἀριθ. 2 λόγου). Ὁ ὅλος κῶδιξ, γεγραμμένος διὰ διαφόρων χειρῶν, τοῦ ιδ' ἢ ιε' αἰῶνος· τὰ ὑπ' ἀριθ. 2, 3, 4 καὶ 7 διὰ τῆς αὐτῆς χειρός, δι' ἧς καὶ ὁ πίναξ· ἐπίσης τὰ ὑπ' ἀριθ. 1 καὶ 5. Στάχωσις βυρσίνη. Περιεχόμενα: 1) φ. 3r: ὁ κατωτέρω δημοσιευόμενος λόγος, 2) φ 23r: ἀκέφαλος· ἐκ τοῦ πίνακος φαίνεται περιεχόμενος: *Ἰωάννου Χαρτοφύλακος Θεσσαλονίκης τοῦ Σταυρακίου Λόγος εἰς τὰ θαύματα τοῦ αὐτοῦ μεγάλου ἁγ. Δημητρίου* (ἄρχ. *«ὁ λόγος τοῦ μυρορρόου Δημητρίου τὰ θαύματα...»*), 3) φ. 70v: *Συμεὼν μοναχοῦ καὶ φιλοσόφου Ἐγκώμιον εἰς τὸν ἅγιον καὶ πανένδοξον τοῦ Χριστοῦ μεγαλομάρτυρα Δημήτριον* (ἄρχ. *«Δημήτριος ὁ μέγας ἐν ἀθληταῖς...»*), 4) φ. 79r: *Κανὼν εἰς τὸ γενόμενον θαῦμα παρὰ τοῦ μεγίστου ἐν μεγαλομάρτυσι Θεοδώρου τοῦ Τήρωνος τῷ πρώτῳ Σαββάτῳ τῆς ἁγίας καὶ μεγάλης Τεσσαρακοστῆς* (ἄρχ. *«ὁ θαυμαστὸς ἐν ἁγίοις ὄντως Θεὸς...»*), 5) φ. 83r: *Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου ἀρχιεπισκόπου Εὐχαΐτων καὶ συγκέλλου, Λόγος εἰς τὴν σύναξιν τῶν ἀσωμάτων* (ἄρχ. *«καὶ τοῦτο τῆς ἄκρας ἀγαθότητος...»*), 6) φ. 107r: *Νείλου τοῦ ἁγιωτάτου Πατριαρχῶν Κωνσταντινουπόλεως Ἐγκώμιον εἰς τὸν ἐν ἁγίοις Πατέρα ἡμῶν Γρηγόριον ἀρχιεπίσκοπον Θεσσαλονίκης* (ἄρχ. *«Οὐδὲν οὕτως ἐπαχθὲς...»*), 7) φ. 149r: *Μνήμη τοῦ ἁγίου μάρτυρος Θεοδώρου τοῦ νέου* (ἄρχ. *«Οὐ σκιᾶς τὰ εὐφρόσυνα...»*), 8) φ. 158r: *Βίος καὶ μαρτύριον τῆς ἁγίας Ἀνυσίας τῆς ἐν Θεσσαλονίκῃ συγγραφεὶς παρὰ Φιλοθέου ἀρχιερέως* (ἄρχ. *«Οὐδὲν ἀρετῆς τιμιώτερον...»*), 9) φ. 178r: *Λόγος ἐγκωμιαστικὸς εἰς τὸν ἐν ἁγίοις Πατέρα ἡμῶν Γρηγόριον τὸν θεολόγον ἀρχιεπίσκοπον Κωνσταντινουπόλεως, συγγραφεὶς παρὰ... κυρίου Θεοδούλου τοῦ μαγίστρου* (ἄρχ. *«Οὐχ ὅπως οὐδ' ἂν ἧς οἶμαι τῶν πάντων...»*). Ἐν φ. 2: *«Πίναξ ἀκριβὴς τοῦ παρόντος βιβλίου»* (ὅπου ὅμως παραλείπεται τὸ ὑπ' ἀριθ. 4). Ἐν φ. 104v, 105r καὶ 106r διάφορα σημειώματα.



Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 17:57:34 EEST - 18.191.198.107

*εἰς τὴν προεόρτιον ἑορτὴν τοῦ μεγάλου Δημητρίου τοῦ Μυροβλύτου»*. Ὁ λόγος οὗτος τυγχάνει, ἐφ᾽ ὅσον γνωρίζω, ἀνέκδοτος, εἶναι δὲ ὅλως ἄγνωστος εἰς πάντας τοὺς ἀσχοληθέντας περὶ τὸ ἔργον τοῦ Ἁρμενοπούλου. Ἐχρησιμοποιήθη δὲ ὁ λόγος οὗτος, ἐὰν δὲν ἀπατῶμαι, μόνον ὑπὸ τῶν O. Tafrali [1] καὶ Α. Ξυγγοπούλου [2].

Ὁ λόγος οὗτος ἀποτελεῖ τυπικὸν δεῖγμα ἐκκλησιαστικῆς ῥητορικῆς, ὡς αὕτη ἀνεπτύχθη ἐπὶ Βυζαντινῶν, χωρὶς νὰ κατορθώσῃ ν᾽ ἀποφύγῃ ὁ Ἁρμενόπουλος τὰ ἀπὸ λογοτεχνικῆς πλευρᾶς ἐλαττώματα τῶν τοιούτων λόγων: τὸν ἄμετρον ἐγκωμιασμόν, τὴν συχνὴν χρῆσιν τῶν παρηχήσεων καὶ τῶν μεταφορῶν, κλπ. [3]. Συντεταγμένος εἰς ἀττικὴν διάλεκτον [4], νομίζω, ὅτι εἶναι ἐκ τῶν καλυτέρων σῳζομένων λόγων εἰς τὸν ἅγ. Δημήτριον [5]. Θεωρῶ ἐπιβαλλομένην τὴν

---

[1] Εἰς τὰς δύο περὶ Θεσσαλονίκης μονογραφίας του: Thessalonique au quatorzième siècle καί: Topographie de Thessalonique, ἀμφοτέρας ἐκδοθείσας τὸ 1913.

[2] Συμβολαὶ εἰς τὴν τοπογραφίαν τῆς Βυζαντινῆς Θεσσαλονίκης (Θεσσαλονίκη 1949) καί: Αἱ περὶ τοῦ ναοῦ τῆς ἀχειροποιήτου Θεσσαλονίκης εἰδήσεις τοῦ Κωνσταντίνου Ἁρμενοπούλου, ἐν τῷ ὑπὸ ἐκτύπωσιν τόμῳ ἑξακοσιετηρίδος Ἁρμενοπούλου, σ. 1-26, ἔνθα ὁ συγγραφεὺς χρησιμοποιεῖ δύο ἐκτεταμένα πως ἐδάφια τοῦ Λόγου, μετά τινων ὅμως παραναγνώσεων. Δὲν δύναμαι νὰ συγκαταλέξω οὔτε τὸν Κ. Ζησίου, ἐν Πρακτ. τῆς ἐν Ἀθήναις Ἀρχαιολ. Ἑταιρείας τοῦ ἔτους 1913 (Ἀθ. 1914) σ. 130, οὔτε τοὺς Ch. Diehl, M. Le Tourneau, H. Saladin, Les monuments chrétiens de Salonique (Paris 1918) σ. 52 ἑπ., 98 σημ. 4, οὔτε τὸν Ἐμμ. Β. Μάνον, Τὰ Δημήτρια, ἐν π. Γρηγόριος ὁ Παλαμᾶς 30 (1948), 220-230, μεταξὺ τῶν χρησιμοποιησάντων τὸ χφ., διότι πάντες οὗτοι οὐχὶ ἐξ αὐτοψίας, ἀλλὰ μέσῳ τῶν εἰρημένων μονογραφιῶν τοῦ Tafrali ἔλαβον γνῶσιν τοῦ χφ.

[3] Πρβλ. A. Ehrhard, ἐν Ἱστορίᾳ τῆς βυζ. λογοτεχνίας τοῦ Κρουμβάχερ, μετ. Γ. Σωτηριάδου, τ. Α΄ σ. 319 ἑπ., 322.

[4] Λόγῳ τοῦ θέματος, τὸ ὕφος δὲν εἶναι ἀμιγῶς ἀττικόν, ἀλλ᾽ ἐπηρεάζεται καταφανῶς ὑπὸ τῆς γλώσσης τῆς ἐκκλησιαστικῆς φιλολογίας. Πάντως ἡ προσπάθεια τοῦ Ἁρμενοπούλου, ὅπως χρησιμοποιήσῃ τὴν ἀττικὴν διάλεκτον, ἐπιτυχὴς κατὰ τὸ πλεῖστον, εἶναι ἐμφανὴς ἐκ τῆς χρησιμοποιήσεως ἐν δεδομένῃ εὐκαιρίᾳ τοῦ δυϊκοῦ ἀριθμοῦ καί, μετά τινος ἐκζητήσεως, λέξεων σπανίων τῆς ἀττικῆς διαλέκτου (π.χ. *λῆμα, ἐνεός, γεννικός, ἀναπεμπάζομαι)*, ἢ χαρακτηριστικῶν ταύτης (π.χ. *γλῶττα)*. Δὲν παραλείπει ὅμως ὁ Ἁρμενόπουλος νὰ διανθίσῃ τὴν ὁμιλίαν του καὶ διὰ γλωσσικῶν στοιχείων ἐκ τοῦ ποιητικοῦ λόγου τῶν ἀρχαίων· οὕτω χρησιμοποιεῖ τὸ ποιητικόν: *θεοσδότως* (φ. 9v) καὶ *ἀμπλάκημα* (φ. 6r), ἐπίσης τὸν ποιητικὸν παρακείμενον: *τέθηπα* (φ. 3r), τὴν ὁμηρικὴν ἔκφρασιν: *βαθὺ λήϊον* (φ. 18v) κλπ. Ἰδιαιτέρως χαρακτηριστικὴ εἶναι ἡ ἐν τῷ δημοσιευομένῳ κειμένῳ ἀνίχνευσις ἑπτὰ ἀθησαυρίστων ἐν τοῖς λεξικοῖς συνθέτων λέξεων, τῶν ἑξῆς: *προσεπιχορηγῶ, συμπροεορτάζω, ὑπεράδω, ὑπεράμιλλος, ὑπερμειζόνως, ὑπερμελῳδῶ, ὑπερερείδομαι.*

[5] Εἰς ἐμὲ γνωστοὶ λόγοι, ἐγκώμια ἢ προσφωνήματα εἰς τὸν ἅγιον Δημήτριον εἶναι οἱ ἑξῆς: 1) *Λέοντος τοῦ Σοφοῦ, ἐγκώμιον* καὶ *δύο ὁμιλίαι*· ἐδημ. ὑπὸ τοῦ ἱερομονάχου Ἀκακίου, Λέοντος τοῦ Σοφοῦ, Πανηγυρικοὶ Λόγοι (Ἀθ. 1868) σ. 124-139, 2) τοῦ ἀρχιεπ. Θεσσαλονίκης *Πλωτίνου* (ἴσως τῶν ἀρχῶν ζ΄ αἰῶνος), *ἐγκώμιον*·

Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 17:57:34 EEST - 18.191.198.107

ἔκδοσιν τοῦ λόγου τούτου καὶ λόγῳ τῆς προσωπικότητος τοῦ ῥήτορος [1] καὶ λόγῳ τῶν ἐνδιαφερουσῶν πληροφοριῶν περὶ τῆς ἑορτῆς [2] καὶ πανηγύρεως τοῦ

ἐδημ. ὑπὸ Θ. Ἰωάννου, Μνημεῖα Ἁγιολογικὰ (Βεν. 1884) σ. 41 ἑπ. (Ἐν τῇ μεταφράσει Σωτηριάδου τῆς Ἱστορίας τοῦ Κρουμβάχερ, Ἔνθ' ἀνωτ. 327, ἀντί: *Πλωτίνου*, κατὰ λάθος: *Φωτεινοῦ*· ἐπίσης ἐν Bibliotheca hagiographica græca [Bruxellis] 1895, σ. 36, κατὰ λάθος: *Photinos).* 3) τοῦ *Κωνσταντίνου Ἀκροπολίτου,* ιδ' αἰῶνος, *Λόγος*· ἐδημ. ὑπὸ Α. Παπαδοπούλου Κεραμέως, Ἀνάλεκτα Ἱεροσολ. Σταχ. Α' 160 - 215. 4) *Γρηγορίου,* διακόνου καὶ ῥεφερενδαρίου, ἀγνώστου ἐποχῆς, *Ἐγκώμιον*· ἐδημ. ὑπὸ Θ. Ἰωάννου, Ἔνθ' ἀνωτ. σ. 67 ἑπ. 6) *Ἰωάννου τοῦ Σταυρακίου,* διακόνου καὶ χαρτοφύλακος Θεσσαλονίκης, τοῦ ιγ' αἰῶνος· παράφρασις εἰς ἁπλουστέραν γλῶσσαν· ἐδημ. ἐν τῷ Θησαυρῷ Δαμασκηνοῦ τοῦ Στουδίτου (Βεν. 1570), ἐν τῇ Θύρα τῆς Μετανοίας (Βεν. 1795) καί, ὀρθότερον, ἐν Ν. Ἑλληνομν. 13, 189 ἑπ. Τὸ πρωτότυπον ἀνέκδοτον. 7) *Νικήτα,* ἀρχιεπ. Θεσσαλονίκης, τοῦ ια' αἰῶνος, *Εἰς τὰ θαύματα*· ἐδημ. ὑπὸ Α. Σιγάλα, ἐν Ἐπ. Ἑτ. Βυζ. Σπ. 12, 317 - 360. (Ὁ Fr. Halkin, ἐν Anal. Boll. 55, 376, παρατηρεῖ, ὅτι δὲν πρόκειται περὶ τοῦ *Νικήτα τοῦ ἐκ Μαρωνείας,* ὡς νομίζει ὁ ἐκδότης, ἀλλὰ περὶ τοῦ προκατόχου του). 8) *Εὐσταθίου* μητροπ. Θεσσαλονίκης, τοῦ ιβ' αἰῶνος, *Λόγος ἐγκωμιαστικός*· ἐδημ. ὑπὸ L. Fr. Tafel, Eustathii Metropolitæ Thessalonicensis Opuscula (Frankfurt 1832) 167 - 182. 9) *Ἰωσήφ,* ἀρχιεπ. Θεσσαλονίκης, τοῦ θ' αἰῶνος, *Ἐγκώμιον*· ἐδημ. ὑπὸ τοῦ ῥώσσου Ἀρσενίου, Τοῦ ὁσίου πατρὸς ἡμῶν... Ἰωσήφ... ἐγκώμιον (Μόσχα 1889). Ἀνέκδοτοι δὲ οἱ ἑξῆς: 1) *Λόγος τοῦ ὁσίου Θεοδότου,* ἐπισκ. Ἀγκύρας, ἐν χφ. Ἐθν. Βιβλ. Νεαπόλεως II c. 33 (πρβλ. Anal. Boll. 21, 396). 2) *Ἐγκώμιον* ἀνωνύμου, οὗ ἡ ἀρχή: *«Πρεπόντως ἐκεῖνοι οἱ ἱερογλυφικοὶ διδάσκαλοι...»,* ἐν Μ. Βατοπ. 427, φ. 1 - 20. 3) Δύο *ἐγκώμια* ἀνωνύμων, ἐν Μ. Βατοπ. 802, φ. 31α - 54. 4) *Μελετίου τοῦ Συρίγου, Λόγος,* ἐν Μ. Βατοπ. 503, φ. 31α - 34. 5) *Διονυσίου* ἱερομ. ἐκ Σιατίστης, *ἐγκώμιον,* ἐν Μ. Βατοπ. 385, φ. 503 - 523 (πρβλ. Σωφρονίου Εὐστρατιάδου, Συμπλ. Ἁγιορ. Καταλόγων Βατοπεδίου καὶ Λαύρας, σ. 16), 6) *Νεοφύτου,* πρεσβυτέρου, *ἐγκώμιον,* ἐν χφ. 1189 Ἐθν. Βιβλ. Παρισίων, φ. 112 - 119 (πρβλ. Tafrali, Thessalonique κλπ. σ. III). Καὶ ταῦτα μὲν περὶ τῶν λόγων· περὶ δὲ τοῦ βίου καὶ διηγήσεων, περὶ τῶν θαυμάτων ἢ τοῦ μαρτυρολογίου τοῦ ἁγ. Δημητρίου, βλ. Bibliotheca hagiogr. græca, σ. 35. Περὶ δὲ τῆς σχετικῆς ὑμνογραφίας, βλ. Σωφρονίου Εὐστρατιάδου, ἐν Ἐπ. Ἑτ. Βυζ. Σπ. 11, 120 - 150.

[1] Τὸ ἀξίωμα τοῦ Ἁρμενοπούλου—νομοφύλαξ καὶ κριτὴς—ἐκ τῶν ἀνωτέρων τῆς δικαστικῆς ἱεραρχίας ἐπὶ Βυζαντινῶν, δὲν εἶναι βέβαιον, ἐὰν ὠφείλετο ἀποκλειστικῶς εἰς τὴν προσωπικὴν ἀξίαν του, ἢ καὶ εἰς τὴν στενὴν συγγένειαν τῆς μητρός του πρὸς τὸν αὐτοκράτορα Ἰωάννην τὸν Καντακουζηνόν. Δὲν ἔχει μέχρι σήμερον ἀποκρυσταλλωθῆ θετικὴ γνώμη περὶ τῆς πραγματικῆς ἀξίας τοῦ ἔργου του· ἴσως τοῦτο ὀφείλεται καὶ εἰς τὸ πολύμορφον αὐτοῦ: ἐν μέρει νομικόν, ἐν μέρει νομοκανονικόν, ἐν μέρει δογματικόν, ἐν μέρει λεξικογραφικόν. Ἐν πάσῃ περιπτώσει ἡ σπουδαιοτέρα, καθαρῶς ἐρανιστική, ἐργασία του—ἡ Ἑξάβιβλος—παρὰ τοὺς ἐνδοιασμοὺς τῶν μεταγενεστέρων νομικῶν, ἔχει ὑπὲρ ἑαυτῆς τὴν μεγίστην διάδοσιν, ἣν ἔσχεν ἐπὶ ἓξ συνεχεῖς αἰῶνας, εἰς ἣν διάδοσιν, ὅσον καὶ ἂν ἐβοήθησεν ἡ τύχη, δὲν δύναται πάντως νὰ εἶναι ἀμέτοχος ἡ πρακτικότης, μεθ' ἧς ἦτο αὕτη συντεταγμένη. Περὶ τοῦ τίτλου *σεβαστὸς* καὶ τῶν διαφόρων διαβαθμίσεών του, πρβλ. Du Cange, Glossarium, τ. II σ. 1339 ἑπ.

[2] Αἱ ἑορταὶ αὗται ἦσαν πολυήμεροι, ἀρχόμεναι ἀπὸ τῆς 20 Ὀκτωβρίου καὶ

Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 17:57:34 EEST - 18.191.198.107

πολιούχου τῆς Θεσσαλονίκης, τῆς περιγραφῆς τοῦ ναοῦ τῆς Παναγίας τῆς Ἀχειροποιήτου [1], ὡς καὶ τῶν πληροφοριῶν περὶ τῆς Καταφυγῆς [2].

Περὶ τῆς πατρότητος τῆς ὁμιλίας ταύτης οὐδένα λόγον ἔχομεν, ὅπως ἀμφιβάλλομεν· ἀντιθέτως, ἐκ τῆς παραβολῆς πρὸς ἄλλα ἔργα τοῦ Ἀρμενοπούλου, πρέπει νὰ δεχθῶμεν ἀδιστάκτως τοῦτον ὡς συντάκτην τοῦ λόγου· οὕτως, ἐν τῇ «*Κριτῶν Προκαταστάσει*», ἀποτελούσῃ τὸ προοίμιον τῆς Ἑξαβίβλου, ἀπαντῶμεν τὰς σπανίας λέξεις : *ὑψοποιὸς* (σ. 2,4) καὶ *ἀναπεμπαζόμενος* (σ. 6,13), τὰς ὁποίας χρησιμοποιεῖ καὶ εἰς τὸν λόγον του (φ. 7v, 4v, 13v). Ἐπίσης τὰς παρηχήσεις : *ὄντως ὄντα* (σ. 2,1), *δίκαιον καὶ δίκαια* (σ. 1,1) κλπ. Ὡσαύτως ἐν τῇ *Ἐκθέσει τῆς ὀρθοδόξου πίστεως* [3] ἀπαντῶμεν τὴν φράσιν : «*Διὸ καὶ τὴν ἁγίαν Παρθένον τὴν ἀρρήτως αὐτὸν τέξασαν Θεοτόκον προσαγορεύομεν ὡς τὸν ἕνα τῆς Τριάδος τετοκυῖαν Θεόν*», συγγενεστάτην πρὸς τὴν ἐν τῷ ἐκδιδομένῳ λόγῳ φράσιν : «*Σὲ γὰρ εἶναι τῷ ὄντι θεοτόκον ὁμολογοῦντες πιστεύομεν, τὸν ἕνα τῆς Τριάδος ἀρρήτως ἡμῖν τετοκυῖαν Θεόν*» (φ. 20r).

Ὡς πρὸς τὸ ἔτος τῆς ἐκφωνήσεως τοῦ λόγου, οὐδὲν προκύπτει ἐκ τοῦ κειμένου· ἐὰν αἱ πληροφορίαι τοῦ Νικολάου Παπαδοπούλου Κο-

---

περατούμεναι τὴν 3 Νοεμβρίου· διῃροῦντο δὲ εἰς τρεῖς περιόδους : α) τὰ προεόρτια, ἀπὸ 20 ἕως 25 Ὀκτωβρίου, καθ' ἃ ἐτελεῖτο καὶ ἐμπορικὴ πανήγυρις, β) ἡ καθ' ἑαυτὸ ἑορτή, ἀπὸ τῆς ἑσπέρας τῆς 25 καὶ ὁλόκληρον τὴν 26 καὶ γ) τὸ ὀκταήμερον, ἀπὸ 27 Ὀκτωβρίου μέχρι 3 Νοεμβρίου. Πρβλ. Tafrali, Thessalonique σ. 138 ἑπ. Ἐν τούτοις, κατὰ τὸν Λόγον τοῦ Ἀρμενοπούλου (φ. 17v), ἡ ἑορτὴ διήρκει ὁλόκληρον τὸν μῆνα Ὀκτώβριον· εἶναι δὲ πιθανωτέρα ἡ πληροφορία αὕτη τοῦ Ἀρμενοπούλου, τοὐλάχιστον διὰ τὸν ιδ' αἰῶνα, διότι, κατὰ σύμπτωσιν, ἔχομεν δύο λόγους τοῦ ἀρχιεπ. Θεσσαλονίκης Ἰσιδώρου (ἐν χφ. 1192 Ἐθν. Βιβλ. Παρισίων), ἐκφωνηθέντας κατὰ τὸ αὐτὸ ἔτος (1393) κατὰ τὴν πρώτην καὶ δευτέραν Κυριακὴν τοῦ Ὀκτωβρίου, ἃς χαρακτηρίζει ὡς Κυριακὰς τῶν προεορτίων (πρβλ. Tafrali, Thessalonique σ. IV). Περὶ τῆς ἑορτῆς καὶ τῆς πανηγύρεως ἐκ τῶν βυζαντινῶν πηγῶν σπουδαιοτάτη εἶναι ὁ ἀνώνυμος διάλογος ὑπὸ τὸν τίτλον «*Τιμαρίων ἢ περὶ τῶν κατ' αὐτὸν παθημάτων*», τοῦ ιβ' αἰῶνος, ἐκδοθεὶς ὑπὸ B. Hase, Notices et extraits, 9 (1813) II σ. 163-246, μετὰ σπουδαίων σχολίων· νεωτέρα ἔκδοσις ὑπὸ A. Ellissen, Analekten d. mittel-u. neugr. Literatur, τ. 4 τεῦχ. 1 (Λειψία 1860) σ. 44 ἑπ. Περὶ τοῦ ἑορτασμοῦ ἐν Κωνσταντινουπόλει, βλ. Κωνσταντίνου Πορφυρογεννήτου, Ἔκθεσις τῆς βασιλείου τάξεως, κεφ. Λ' (ΚΑ') ἐν τῇ ἐκδόσει A. Vogt, A' (Παρ. 1935) σ. 113-115. Τὸ ἄρθρον τοῦ Ἐμμ. Δαβίδ, Τὰ Δημήτρια, ἐν Ἡμερολογίῳ ἐθν. καὶ φιλανθρ. καταστημάτων (Κωνσταντινούπολις 1906) 2, 399-402, δὲν κατώρθωσα νὰ ἴδω. Ἐπὶ πᾶσι πρβλ. Φ. Κουκουλέ, Βυζαντινῶν βίος καὶ πολιτισμός, τ. Γ' (Ἀθ. 1949) 274 ἑπ.

[1] Πρβλ. Tafrali, Topographie σ. 161 ἑπ. καί, κυρίως, Α. Ξυγγοπούλου, Αἱ περὶ τοῦ ναοῦ κλπ., σ. 5 ἑπ.

[2] Πρβλ. Α. Ξυγγοπούλου, Συμβολαὶ σ. 7-20.

[3] Ράλλη-Ποτλῆ, Σύνταγμα 5, 454.

Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 17:57:34 EEST - 18.191.198.107

μνημνοῦ[1] περὶ τῶν ἐτῶν καθ' ἃ διέμεινεν ἐν Θεσσαλονίκῃ ὁ Ἁρμενόπουλος εἶναι ἀκριβεῖς—περὶ οὗ πολλαὶ ἀμφιβολίαι ὑφίστανται—πρέπει ὁ λόγος οὗτος νὰ ἐξεφωνήθη μεταξὺ τῶν ἐτῶν 1360 καὶ 1383. Ἐὰν ὅμως ἡ Ἑξάβιβλος συνετάχθη ἐν Θεσσαλονίκῃ περὶ τὸ 1345, ὡς ἔχει γίνει δεκτόν[2], τὰ ὅρια εὐρύνονται μεταξὺ τῶν ἐτῶν 1345 καὶ 1383, καίτοι, μέχρι τοὐλάχιστον τοῦ 1349, ὅτε ἔληξεν ἡ αἱματηρὰ στάσις τῶν Ζηλωτῶν, εἶναι ὅλως ἀπίθανον, ὅτι ὁ Ἁρμενόπουλος θὰ ἐξεφώνει τὸν λόγον τοῦτον πρὸ τῆς καταστολῆς της. Ἀντιθέτως, ὁ ἰδιαίτερος θαυμασμός του πρὸς τὴν νεότητα καὶ ἀθλητικότητα τοῦ ἁγ. Δημητρίου, προδίδουν μᾶλλον, ὅτι ὁ ὁμιλητὴς ἦτο ἡλικιωμένος, συνεπῶς δὲ ὅτι ὁ λόγος ἐξεφωνήθη πιθανώτερον περὶ τὰ τέλη τοῦ βίου του.

Ὡς πρὸς τὴν ἡμερομηνίαν τῆς ἐκφωνήσεως τοῦ λόγου, μετὰ τὰς ἀνωτέρω[3] διαπιστώσεις, δὲν δυνάμεθα νὰ εἴμεθα βέβαιοι, ὡς ὁ Α. Ξυγγόπουλος[4], ὅτι ὁ λόγος ἐξεφωνήθη τὴν 25 Ὀκτωβρίου[5].

ΔΗΜΗΤΡΙΟΣ Σ. ΓΚΙΝΗΣ

---

[1] Prænotiones mystagogicæ (Patavii 1697) σ. 143.

[2] Πρβλ. Αἰμ. Χέρτσογ, Πραγματεία περὶ τοῦ Προχείρου ἢ τῆς Ἑξαβίβλου Κωνσταντίνου τοῦ Ἁρμενοπούλου (Μόναχον 1837) σ. 16 ἐπ. καὶ Σπ. Σακελλαρ̣ιάδην, ἐν Ἀρχ. Ἰδ. Δικαίου 12 (1945) σ. 191 ἐπ. § 23.

[3] Σελ. 147 σημ. 2.

[4] Συμβολαὶ σ. 8 σημ. 1, Αἱ περὶ τοῦ ναοῦ κλπ. σ. 5.

[5] Τὸν κ. Στέφανον Ν. Κουμανούδην, τ.φ., ὅστις εἶχε τὴν καλωσύνην νὰ μὲ βοηθήσῃ εἰς τὴν ἀποκατάστασιν τοῦ κειμένου τοῦ Λόγου, εὐχαριστῶ θερμότατα καὶ ἐκ τῆς θέσεως ταύτης.

Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 17:57:34 EEST - 18.191.198.107

# ΤΟ ΚΕΙΜΕΝΟΝ

3r Τοῦ πανσεβάστου νομοφύλακος καὶ κριτοῦ Θεσσαλονίκης Κωνσταντίνου τοῦ Ἁρμενοπούλου, Λόγος εἰς τὴν προεόρτιον ἑορτὴν τοῦ μεγάλου Δημητρίου τοῦ Μυροβλύτου, ἥτις ἐν τῷ ναῷ τῆς ὑπεραγίας Θεοτόκου τῆς Ἀχειροποιήτου τελεῖται.

Ἄλλοι μὲν τὰ τῆς ἑορτῆς ὁρῶντες Δημητρίου, ὃν ἐγὼ τῶν ἀριστέων τοῦ Χριστοῦ γενναιότατον οἶδα, καὶ ἣ πάσας ἐγκοσμίους ἀτεχνῶς ὑπεραίρει, ὅπως ἂν αὐτοῖς εἴη βεβουλημένον, διάκεινται εὖ δέ, οἶμαι, πάντες, οἷς νοῦ καὶ φρενῶν ὅπῃ οὖν μέτεστιν· οὐρανοῦ γὰρ μέγεθος καὶ κάλλος ἡλίου καὶ σελήνης μαρμαρυγὰς καὶ Δημητρίου τὴν ἐπέτειον ἐν Θεσσαλονίκῃ πρόσοδον τῶν ἁπάντων οὐκ ἔστιν, ὃς οὐχὶ διὰ θαύματος ἄγει. Ἐγὼ δέ, οὕτω ταῦθ᾿ ὁρῶν, τέθηπα καὶ ἐκπέπληγμαι, γέγηθά τε καὶ καταινῶ ὡς καὶ λόγοις ἔμοι γε τοῖς δυνατοῖς—ἀξίοις γὰρ οὐ ποτ᾿ ἂν φαίην ὑμνῆσαι καὶ λογικῶς προσει-
3v πεῖν—εἴπερ οἷόν τέ μοι γένοιτο, καὶ προῄρημαι καὶ βεβού||λημαι—ἐκ γὰρ τῶν ἡμῖν ἐνόντων καὶ Θεοῦ τὰς ἀπείρους εὐποιίας εὐγνωμόνως ἀμείβεσθαι κελευόμεθα—καὶ ὑμνῆσαι τὰ τῆς ἑορτῆς ξύμπαντα μέν, ἥκιστα. Ἄλλης γὰρ ὑπὲρ τὴν ἐμὴν ἐν λόγοις τοῦτ᾿ ἔστιν ἕξεως· τουτὶ δ᾿ οὐχ ἥκιστα ταύτης τὸ θαυμάσιον μέρος, ὥσπερ κεφαλῆς τυχεῖν ὄμματα μόνον ἢ γλῶτταν ἐπιλεξάμενος.

Ἀλλὰ τί πρῶτον ἐνταῦθ᾿ ἐρῶ; Τίνα δὲ πρῶτον, καὶ σθένος ὅσον ἔστι μοι λογικόν, εὐφημήσω; Πότερον, τὸν εὐφημούμενον, ἢ τὴν εὐφημίαν αὐτήν; Ἡ γὰρ εὐφημοῦσα, τῇ εὐφημίᾳ δηλονότι συνευφημεῖται, τοῖς λόγοις εὐφημουμένη. Ὅ τε γὰρ εὐφημούμενος ἐνταῦθα γενναῖος ἀριστεύς, πάντας, ὅσοις ποτ᾿ ἐγγὺς κατ᾿ αὐτὸν εὐμοίρησε γεγονέναι, παντὸς φυὴν μετεσχηκὼς ἀγαθοῦ, τοῖς φαινομένοις, οἶμαι δ᾿ ὅτι καὶ τοῖς νοουμένοις, λαμπρῶς ὑπεραίρει, μόνος ἐπὶ γῆς θεόθεν μύρων πηγὰς ἀκενώτους πεπλουτηκώς, εἰ καὶ ξυμπάσης εἶεν τῆς γῆς οἱ ταύτας διὰ παντὸς ἀρυτόμενοι,
4r ὥσπερ || οὖν καὶ εἰσί, καὶ τερατουργιῶν καὶ θαυμάτων ὑπερεκχεῖν πέλαγος χάριν ἐκεῖθεν εἰληφώς. Εὖ τὴν ἑαυτοῦ πόλιν καὶ τῆς οἰκουμένης πάντας ἑκασταχοῦ, οἷς αὐτὸς ἐπικεκλήσεται, κακῶς καὶ πονήρως τῶν σωμάτων καὶ τῶν πραγμάτων ἢ καὶ τῶν ψυχῶν ἔχουσι, ποιοῦντος ἑκάστοτε, ἤ τ᾿ εὐφη-

---

23 πάντας : πάντων χφ.   30 ποιοῦντος : ποιούντων χφ.

Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 17:57:34 EEST - 18.191.198.107

μία πόλεις πάσας τῇ προθέσει καὶ τοῖς ᾄσμασι παρελαύνει. Δῆλον δ' ὅτι
καὶ τοῦτον ἡ οὕτως εὐφημοῦσα πατρὶς αὐτοῦ καὶ πόλις πασῶν τὰ πρεσβεῖα
φέρει τῶν πόλεων, νοῦν ὑπὲρ αὐτὰς πλουτοῦσα καὶ λόγον, καὶ τὸ σέβειν
Θεόν, φθόνος δ' ἐρρέτω, μῶμος τῶν ἀληθευόντων κἂν τοῖς οἰκειοτάτοις
ἀπέστω, πασῶν καὶ αὖθις εἰπεῖν διενηνοχυῖα τῶν πόλεων, ἐξ ὧν εὐποιίας
θείας ἀντιμετρεῖν, ὅσα γε εἰς δύναμιν ἀνθρωπίνην ἥκει, καὶ οἶδεν αὕτη
καλῶς καὶ δεδύνηται. Τῶν μὲν οὖν ἄκρων ἐν τούτοις, ὥσπερ ἐν συλλογι-
σμοῖς δύο κειμένων ὅρων, τῆς ἐμῆς ἐν λόγοις ὑπερανεχόντων δυνάμεως καὶ
4v μεί||ζονος ἢ τῆς παρούσης ἄντικρυς πραγματείας ὄντων, ἀποστατέον ἐστὶν
ἐν τῷ παρόντι, ὅτι μηδὲ περὶ τούτων εἰπεῖν τὴν ἀρχὴν προυθέμεθα. Τοῦ
δὲ μέσου τούτων, καὶ οὗ χάριν τὸν παρόντα λόγον ἐνεστησάμεθα, λέγω δὲ
τὴν εὐφημίαν τῆς νῦν ἑορτῆς, τούτου νῦν, ὡς οἷόν τ' ἐστί, προσαπτέον,
εἴ γέ πως εἰπεῖν περὶ αὐτοῦ δυνηθείημεν ἔμβραχυ γοῦν τῆς ἀξίας· εἰ δέ τι
μεταξὺ καὶ περὶ ἐκείνων ὁ λόγος ἐρεῖ, ἀνάγκῃ πάντως ἐρεῖ τῇ γιγνομένῃ,
καθ' ἣν καὶ ὁ περὶ ἀνδριάντος ἐρῶν καὶ τὴν οὗ ὁ ἀνδριὰς ἐστὶ καὶ ὑφ' οὗ
γέγονε, τοῦ μέν, μεγαλουργίαν, τοῦ δ' εὐφυΐαν ἐξειπεῖν ἀναγκάζεται.

Ἐκπέπληγμαι τοίνυν, ὡς ἔφην, ὑπεράγαμαί τε καὶ καταινῶ, οὐ τῆς
ἑορτῆς ξυμπάσης τὸ ποικίλον καὶ προσηνὲς καὶ χάριεν ἀναπεμπαζόμενος—
τοῦτο γὰρ ἡμῖν ἀπείρητο τῶν ὑπὲρ ἡμᾶς ὄν, ὡς εἴρηται, οἶμαι δ' ὅτι καὶ
5r οὐδενὸς ὄντος ἀξιόχρεω περὶ ταύτης εἰπεῖν— || ἀλλὰ τῆς παρούσης προεορ-
τίου ταύτης τὴν ἐναρμόνιον καὶ μουσικωτάτην ἐμμελῆ ψαλμῳδίαν καὶ τὸ
γάνος ὁρῶν τε καὶ διακούων, ἣν ἡ τοῦ μεγάλου τούτου πατρὶς καὶ πόλις
οὐκ ἀποχρῶν ἡγησαμένη τὸν σωτῆρα ταύτης ἐν τῷ τούτου μόνῳ νεῷ τοῖς
ἀρίστοις ᾄσμασι προεορτάζεσθαι, ἅμα καὶ τῇ πανάγνῳ Θεομήτορι ἐν τῷ
ταύτης νεῷ προεορτάζειν οὐκ ἀγνωμόνως αὐτὸν μεθ' ὅτι πολλῆς ἐπενόησε
τῆς ῥαστώνης. Νεὼν φημί, δότε <μοι> κἂν τούτῳ μικρὸν ἐνδιατρῖψαι τῷ
λόγῳ τῆς θέας βιαζομένῳ τῇ χάριτι, ὦ φιλόθεοι καὶ φιλέορτοι, ὃν τῶν
καλλίστων εἶναι καὶ περικαλλεστάτων ἐπὶ γῆς θεαμάτων καὶ θαυμάτων
ἐπέκεινα, οἷον πάλαι τὸ Ῥόδιον καὶ ὅσα ἐπὶ τῶν προτέρων λέγεται κατ' αὐτὸ
γενόμενα χρόνων, τῶν ἁπάντων οὐκ ἔστιν ὅστις ἰδὼν ἢ ἀκούσας οὐ τίθε-
ται. Τῶν γὰρ ἱερῶν καὶ θείων σηκῶν οὐχ ὁμοίως τοῖς ἄλλοις καὶ οὗτος
5v καθίδρυται, τοίχοις, λέγω, καὶ πινσοῖς καὶ κίοσι συνιστάμενος, || ἀλλὰ κίοσι
τῶν ἐπὶ γῆς μόνος μόνοις, τοῦτο δὴ τὸ θαυμασιώτατον τοῖς φιλοθεάμοσιν,
ὑπανεχόμενος πάντοθεν, ὃν τάχ' ἄν τις δήπου μηδὲ τῶν ἐγγείων, ἀλλὰ τῶν
ἐναερίων εἶναι λογίσαιτο, τῶν κιόνων οὕτως ἰδὼν ἀνέχοντα. [Εἴποι δ' ἄν τις
ἴσως, καὶ πρὸς αὐτὸν αἴφνης ἰδών, εἰ μὲν τῶν ἀστροθεαμόνων εἴη—τῶν

---

65-76 Ἐν χφ. ἡ περίοδος : *Εἴποι δ' ἄν τις... προσψαῦσαι.* ἐτέθη διὰ μεταγενεστέρας χειρός, ἐντὸς περιθωρίου· ἴσως πρόκειται περὶ παρεμβλήματος.

Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 17:57:34 EEST - 18.191.198.107

*γὰρ πολλῶν ἐν τοῖς ὑπὲρ τοὺς πολλοὺς ἥκιστα μεμνῆσθαι δεῖ—γεώδους ἐξ ὕλης ἐν ἀέρι τοῦτον φαῖνον εἶναι σῶμα συνεστὼς ἐπ' ἐνιαυτῶν πλείστας περιόδους· ξηραὶ γὰρ ἂν αὐτῷ ἀναθυμιάσεις ἐκ γῆς ἀνιοῦσαι πρὸς αὐτὸ λογισθεῖεν οἱ τοῦτον ὑπανέχοντες κίονες, διὰ τὸ μέγεθος καὶ τὸ συνιζάνειν διεκεκριμένως, οἷον καὶ συμπιλοῦσθαι, ὀγκούμεναί τε καὶ γινόμεναι οὐκ ἀθέατοι. Εἰ δὲ τῶν θείων καὶ ἱεροφαντῶν ἀνδρῶν σκηνὴν ἄνωθεν ὡς ἡμᾶς Θεοῦ κατενηνεγμένην προνοίᾳ, ἣν ἀέρος εἰλικρίνεια συνέχει καθ' ἑαυτὴν ὑποδεδεγμένη, γῆ γάρ, ὥσπερ ταύτην εὐλαβουμένη, ||* [6r] *τοῖς καλλίστοις αὐτὴν ὧν ἔχει κιόνων δεξιουμένη προαπαντᾷ, οἱονεὶ δεδοικυῖα ταύτης προσψαῦσαι]. Ἤδη δέποτε καί τις τῶν γεννικῶν τὸ λῆμα τοῦτον ἰδὼν καὶ τῆς θέσεως ὑπεραγασθείς, ἀντιστρόφως ἴσχειν αὐτὸν τὴν κρηπῖδα πρὸς τὸν ὄροφον ἀπεφήνατο· οὕτω θεῖόν τι τέρας ὁ θεῖος οὗτος δοκεῖ τε καὶ ἔστι ναός, οὐχ ὅπως αἴφνης ἐνίοις ὀφθείς, ἀλλ' αἰεὶ καὶ πᾶσιν δρώμενος. [Τοιαῦτα μὲν οὖν δήπουθεν ἄλλοις ἐνταῦθ' οἷς εἶπον εἰκασθήσεται καὶ ῥηθήσεται]. Ἐμοὶ δὲ ἄρα τὸν περικαλλέστατον τόνδε καὶ περιβόητον οὐράνιον ἐν γῇ νεὼν δρῶντι πρὸς τῇ θείᾳ τῆς ἐνταῦθα Θεομήτορος εἰκόνι, ἣ τῷ ὄντι θεόθεν, οὐκ ἐξ ἐπινοίας ἢ χειρὸς ἀνθρωπίνης, οὕτως ὄρθιος, ἱκέσιος, ἐσχημάτισται, διὰ τὸ τοῦ κτήτορος, ὡς ἀληθὴς αἱρεῖ λόγος, ἐνταῦθα γεγενημένον ἀμπλάκημα, οὗ χάριν καὶ τὴν Ἀχειροποίητος, κατὰ τὰς ῥάκει πρῴην καὶ κεράμῳ δεσποτικὰς ἐντυπωθείσας μορφὰς εὐδοκίᾳ τοῦ θεανθρώπου λόγου, προ||* [6v] *σηγορίαν ἔσχε, καὶ ταύτης αὐτὸν τῆς Ἀχειροποιήτου προσρήσεως, ἀξιοῦν ἐπῄει τολμῆσαι. Χειρὶ μὲν γὰρ οὔκουν ἀνθρωπίνῃ, ἥδε τὸν ἑαυτῆς ᾠκοδόμησεν οἶκον σοφίᾳ καὶ στύλοις ἑπτά, κατὰ τὸ σολομώντειον ἔπος ὑπήρεισε ταύτῃ καὶ οὗτος καὶ κατεσκευάσθαι καὶ τοῖς κίοσιν ὑπερηρεῖσθαι δοκεῖ· τοσοῦτον αὐτοῦ τὸ ὑπερφυὲς καὶ ξενίζον καὶ οὕτως ὑπὲρ λόγον οὗτος ἀνθρώπινον καὶ γεγενῆσθαι δοκεῖ καὶ συνέχεσθαι. Μαρτυρεῖ δέ μου τοῖς λόγοις καὶ τὰ καθ' ἑκάστην ἐν τούτῳ γινόμενα· θεία γὰρ αὐτῷ χάρις ἄνωθεν ἐπανθεῖ, δι' ἣν πιστοὶ πάντες εἰς τοῦτον ἀεὶ συνιόντες, γνώμης αὐτῶν ἁμῇ γέ πῃ καμνούσης, ἀνάπαυλαν ἴσχουσι καὶ φαιδροὶ πάνυ καὶ γεγηθότες ἐπανίασιν οἴκαδε, τὴν ψυχὴν ὁμοῦ γανύμενοι καὶ τὰ πρόσωπα.*

*Τὰ μὲν δὴ τοῦ ναοῦ τοιαῦτα καὶ οὕτως ὑπερφυᾶ, θαυμάτων ὄντως ἐπέκεινα, οὗ τὸ μέγεθος ἡλίκον καὶ τὸ κάλλος οἷον· ὅσα τε καὶ οἷα τὰ περὶ αὐτόν τε καὶ ἐν αὐτῷ, τῶν ||* [7r] *ἐλλογίμων καὶ θείων ἀνδρῶν, ἑτέρῳ τῳ πρότερον ἢ νῦν ἡμῖν φιλοπόνως ἐξήτασται καὶ τεχνικῶς ἐκπέφρασται καὶ λογικῶς κάλλιστα ταῖς φιληκόοις τῶν καλλίστων ψυχαῖς παραδέδοται, ἴδιον τοῦτο γενναῖον πεποιηκότι σπούδασμα, διδασκάλιον τῶν ἐν αὐτῷ φαινομέ-*

---

80 - 81 Ἐν χφ. ἡ περίοδος : *Τοιαῦτα μὲν... ῥηθήσεται.* ἐτέθη διὰ μεταγενεστέρας χειρός, ἐντὸς περιθωρίου· ἴσως πρόκειται περὶ παρεμβλήματος. 88 *ἥδε : ἢ δὲ* χφ.

Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 17:57:34 EEST - 18.191.198.107

*νων πάντων καὶ νοουμένων καὶ οἷς οὔποτε τὸν ναὸν ἰδεῖν συνέπεσε τοῦτον προκείμενον, ἀκριβέστατόν τε ἅμα καὶ χαριέστατον. Καὶ ὅ γε ταῦτα μαθεῖν καὶ θαυμάσαι βουλόμενος, ἐκείνῳ σπεύσας, λογικῶς συγγινέσθω. Τὰ δὲ τῆς προεορτίου ταύτης, ὅσα μὲν τῇ σπουδῇ, οἷα δὲ τῇ ποικιλίᾳ τῶν ᾀσμάτων καὶ τῇ φαιδρότητι, μόνοις τοῖς ἐντεθυμημένοις καὶ οὕτω ταῦτα συντεθεικόσιν, οὐκ ἄνευ μὲν τῆς θείας ῥοπῆς καὶ μαρτυρικῆς ἐμπνοίας, ῥητέα τε καὶ γραφῇ τῇ κατ' ἀξίαν δοτέα· οἱ γὰρ αὐτοὶ μόνοι τε τῶν τοιούτων ἐφευρεταὶ—θείων γὰρ εἰσὶν ἀεὶ μυστηρίων ἐφευρεταὶ—καὶ τούτων ὄντες τυγ-*
7v *χάνουσιν || ἐπαινέται· οἷς δὲ ἡμῖν μετ' αὐτοὺς λέγειν ἢ γράφειν, ἄλλως λέγειν καὶ γράφειν περὶ αὐτῶν ἔπεισι.*

*Τίς οὖν τοῖς ἐνταῦθα μέλεσι τὴν διάνοιαν οὐκ ἐκπλήττεται ; Τίς τὸν νοῦν οὐ θαμβεῖται ; Τίς, ἔνθους ὑφ' ἡδονῆς οὐχ ὅλος γινόμενος, ταῖς τούτων ἴυγξιν, ὡς πάλαι τῶν σειρήνων οἱ παραπλέοντες, ἁλίσκεται, ἔνθεν μὲν ᾠδὰς ἀκούων μελιρρύτους μαρτυρικάς, ἐκεῖθεν δὲ ὑψοποιῶν καὶ θείων κατήκοος ᾀσμάτων γινόμενος, οὐκ ἐκ γῆς ἀλλ' ἐξ Ὀλύμπου δοκούντων ᾄδεσθαι ; Ἐν οἷς, οὐχ ὃ φασί, ταῖς ἀσπίσι, τοὐναντίον μέντοι μᾶλλον ἡμῖν συμβαίνει, οὐ γὰρ τὰ ὦτα βύομεν, ὅπερ ἐκείναις, ἵνα μὴ φωνῆς τῶν ἐπᾳδόντων εἰσακούσωνται, γίνεται, ἀλλ' ἀναπετάννυμεν—ὑπερηδόμεθα γὰρ τῷ ἀκούσματι φωνῆς τῶν ἐνταῦθ' ἐπᾳδόντων—νῦν μὲν τῆς ἔνθεν, νῦν δὲ τῆς*
8r *ἐκεῖθεν ἀκούειν γλιχόμενοι. Ταῦτα δέ, τίς ἂν τῆς ἀξίας || ἐγγὺς καὶ διηγήσαιτο, μὴ ὅτι γε ἀξίως ἢ λογικῶς εἰπεῖν εὐφημήσειεν ; <Τοὐτ>οιν γάρ, ὅταν τις καὶ θατέρου μόνον ἀκούσας ᾄσματος τύχῃ, πρὸς εἰδότας δὲ ὁ λόγος, εἴτε ὁ τῷ Θεῷ προσηκόντως, εἴτε ὁ τῷ γενναίῳ τούτου θεράποντι, ἐν μόνῃ Θεσσαλονίκῃ τῇ πόλει τούτων ἀποκεκλήρωται, ἔνθεος ὅλος, ἐνεὸς παντάπασι γίνεται τοῦ μέλους αὐτοῦ τῆς εὐφημίας ἡττώμενος. Τί ἂν τὸν νῦν καὶ ἀμφοῖν τούτοιν ἐνταῦθ' ἀκούοντα παθεῖν ἀνάγκη ; Οὐχ ὃ τοὺς ἐνθουσιῶντας ἢ θείων ποτὲ φωνῶν ἀκούσαντας ἄνωθεν, τῷ μεγέθει καταπεπτωκέναι, ὑφ' ἡδονῆς ἐρραστωνεῖσθαι, ἐπὶ δὲ τούτοις ἅπασι τὴν διάνοιαν ἐκπεπλῆχθαι ; Ἴσασιν οἱ πεπειραμένοι, οἶδ' ἐξαιρέτως τῶν τελούντων ἡ πόλις, οὐκ ἀγνοεῖ τῆς οἰκουμένης τὸ χριστώνυμον φῦλον ἤδη δὲ τῇ μετὰ θαύματος φήμῃ καὶ μέχρι τῶν ἀλλοφύλων ταῦτα προήει. Τοσοῦτον δ' ἔμοί γε*
8v *μόνον ἐνταῦθ' ἔστιν εἰπεῖν· οἶμαι || γάρ, ὡσεὶ ποτέ τις ᾠδικῶν ἁπάντων ὀρνίθων εἰς ἓν γέγονε συνδρομὴ καὶ παντὸς εἴδους μουσικῶν ὀργάνων συνέλευσις, ὑπερᾳδόντων, ὑπερμελῳδούντων καὶ πάσης περιγινομένων αἰσθήσεως, ἢ εἴ ποτέ τις οὐρανοῦ καὶ γῆς αἰσθήσει ληπτὴ σύμφωνος γέγονεν ᾠδή, λόγου παντὸς ὑπερτέρα, τοῦτο εἶναι τὴν παροῦσαν προεόρτιον ἁρμονίαν καὶ τέρψιν.*

*Ἐγὼ μὲν οὕτω περὶ τῆς ἑορτῆς ταύτης καὶ φρονεῖν, ὦ παρόντες, ἔχω καὶ λέγειν, πλὴν εἰ καὶ ἀξίως, οὐκ οἶδα· οἶδεν ὑμῶν ἡ λογικὴ τῆς εὐθύτητος στάθμη, ὁ τῆς ἀκριβείας τῶν γενομένων κανών, ἡ τῶν καλλίστων λυδία*

Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 17:57:34 EEST - 18.191.198.107

*βάσανος, ἡ τῶν λόγων ἀδέκαστος ψῆφος. Ἡ δὲ πόλις ὑμῶν τῆς ἀγχινοίας διὰ ταύτην καὶ τῆς σοφίας, πᾶσιν ὁμοῦ καὶ πάσαις, ἔθνεσί τε καὶ πόλεσιν, ὅσοις καὶ ὅσαις ἑκασταχοῦ δὲ τῆς οἰκουμένης αὕτη γινώσκεται, κομιδῇ*
9r *προσηκόντως θαυμάζεται, οὐχ' ὅτι μόνον τοιαύτην ἐν τοῖς ᾄσμασι προ|| εόρτιον λόγου κρείττω συντέθεικεν ἑορτὴν—τοῦτο γὰρ καὶ μέγα ὄν, δευτέρου πρὸς τὸ ῥηθησόμενον κέκριται λόγου—ἀλλ' ὅτι καὶ τὸν ταύτης πολιοῦχον, τὸ μέγα τῶν μαρτύρων κλέος, τὸ καθ' αὑτὴν ἧκον, καὶ ἄλλως πρεσβεύουσα, συνεορτάζειν ἔγνω καὶ συγγεραίρειν τῇ Θεομήτορι, ἣ καὶ τῶν κατ' οὐρανὸν ἀγγέλων ὡς ἀληθῶς ἐστὶν ὑπερτέρα. Ταύτῃ γὰρ μόνῃ, ἅτε πλεῖστον διενηνοχυίᾳ τῶν πόλεων, καὶ τοῦτ' ἐχρῆν εὖ ἐπινενοῆσθαι, τῇ πανάγνῳ τὸν καὶ τὴν ψυχὴν ἁγνὸν καὶ τὸ σῶμα συνανυμνεῖσθαι Δημήτριον, ὃς τῇ τῆς παρθενίας μὲν ἁγνείᾳ πρὸς ταῖς ἄλλαις ἀρεταῖς καλῶς συμβεβιωκὼς ἐν γῇ τοῖς ἐπουρανίοις, τοῖς ἀΰλοις, μετὰ σώματος ἀνταγωνιζόμενος καὶ τῷ δι' αἵματος δὲ ἡγνισμένος ἐστὶ καὶ μαρτυρίου λουτρῷ, ὃ παντὸς ἐν τῇ ψυχῇ ῥυπτικώτερόν ἐστιν ὑσσώπου, ὅσῳ μηδὲ ῥύποις, ὅ φασιν, ἔτι δευτέροις μολύνεται, τῇ*
9v *τῶν οὐρανῶν ὑψηλοτέρᾳ, τὸν οὐράνιον ἐπὶ γῆς || ὀφθέντα καὶ τοῖς οὐρανοῖς καὶ τότε καὶ νῦν ἐμπολιτευόμενον ἄνθρωπον, ὅτε καὶ τῆς ἀνθρωπείας ἀπηυτομόληκεν οὔπω φύσεως. Ἀναβασμοῖς γὰρ ἐνταῦθ' ἐχρῆτο πνευματικοῖς, ἐξ ἀρετῆς εἰς ἀρετὴν προϊὼν καὶ πασῶν κατάκρας ἐχόμενος, μέχρις ἂν εἰς αὐτὸ φθάσειε τῆς ἀληθοῦς θεογνωσίας τὸ μέγιστον διῆρες, τῇ πᾶσαν εὖ τὴν οἰκουμένην, ὡς αὐτῇ θεοσδότως ἀποκεκληρωμένην, Θεοῦ προνοίᾳ διεξαγούσῃ, τὸν ταύτην καλῶς τοῖς θαύμασι διιθύνοντα καὶ τῆς ἐνεγκαμένης αὐτὸν ὡς ἰδιαιτάτου λάχους εὖ ἀεὶ καὶ καλῶς προϊστάμενον καὶ ταύτην Θεοῦ περιέποντα χάριτι, τῇ κορυφαίᾳ τῶν ὑπερκοσμίων ταγμάτων ἀκρότητι, ὅ φασιν οἱ ἱερομῦσται, τῶν ἐν κόσμῳ μαρτύρων τὴν κορυφαίαν καὶ αὖθις εἰπεῖν ἀκρότητα. Ἵνα δὲ καὶ τοῖς πρόσω καὶ μὴ κατ' αὐτὸν προβῆναι τὸν λόγον γένηται, προσβήσεται δὲ τῇ φιλανθρωπίᾳ θαρρήσας, ἣ τὸν εὐμενέστατον*
10r *ἀρρήτως ἡμῖν Θεὸν ἔτεκε, τῇ ἐκ || στειρωτικῆς ἁγίας μήτρας ἐπαγγελίᾳ τοῦ Θεοῦ τῆς ἡμῶν εἵνεκα σωτηρίας προεληλυθυίᾳ, ἀμβροσίᾳ τε δι' ἀγγέλου καὶ θείῳ τραφείσῃ νέκταρι, χρόνον ὅτι πολὺν τοῦ ναοῦ τοῖς ἀδύτοις ὑπὲρ ἔννοιαν ἐνδιαιτωμένῃ τόν, εἰ καὶ μὴ ἐκ στειρωτικῆς, ἐξ ἁγίας μέν τοι μήτρας πολλῶν εἵνεκα σωτηρίας, οἷς αὐτὸς ἀγωγὸς εἰς Χριστὸν ἔμελλεν ἔσεσθαι, Θεοῦ χάριτι προεληλυθότα. Ἁγία γὰρ πάντως ἡ θεία Μαργαριτώ, καὶ τῶν ἁγίων ταῖς κρείττοσι τῷ καθ' αὑτὴν μὲν ἐφάμιλλος, τῷ δὲ ταύτης θειοτέρῳ τόκῳ καὶ ὑπεράμιλλος—τὸ δένδρον ἐκ τοῦ καρποῦ καλῶς γινωσκόμενον— καὶ θείῳ ῥήματι τεθραμμένον, ᾧ ψυχὰς μάλιστα θεοφιλεῖς ἀντ' ἀμβροσίας πιστεύομεν ἄνωθεν καὶ νέκταρος ἑστιᾶσθαι. Τὰ γάρ, ἃ τῷ καιρῷ καὶ τοῖς πράγμασι πρόσφορα, παρεὶς οὗτος ἀθύρματα καὶ νεανιεύματα ἐν πάνυ σφρι-*

---

144 ὑμῶν : ὑμεῖς χφ.

Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 17:57:34 EEST - 18.191.198.107

*γώσῃ τῇ ἥβῃ, τοῖς ἁγίοις καὶ μετὰ τῶν ἁγίων αὐτεπάγγελτος ἐνδιαιτᾶσθαι*
10v *δέδοται καὶ τοῖς πολλοῖς εἰς τὰ ἄδυτα τῆς εὐσεβείας τῶν ‖ μυστηρίων κατὰ*
*τοὺς ἱεροὺς ἄνδρας, ὁ στρατιωτικὸς εὔζωνος νεανίας κεχώρηκεν. Εἴπω*
*τούτων τὰ μείζω· ὃν γὰρ ἐνυπόστατον τοῦ Θεοῦ Λόγον ἐν τοῖς ἑαυτῆς ἐγκά-*
*τοις ἀρρήτως αὕτη συνείληφε, σάρκα δι᾽ ἡμᾶς τὸν λόγον τοῦτον γενόμενον*
*καὶ τῆς παρθενίας ἀλωβήτως ἐχούσης, ὢ ξένης κυήσεως, τέτοκε καὶ ᾧ σω-*
*ματικῶς πάντων, ὧν τῇ ἡλικίᾳ προσφόρων ἐδεῖτο, φιλοπόνως μετέδωκε,*
*τούτου τῆς διδασκαλίας τὸν λόγον ἐγκάρδιον εἴληφεν οὗτος Θεοῦ χωρητικὸν*
*τὸν ἑαυτοῦ νοῦν ἐξεργασάμενος πολλάκις τε καὶ ἐπὶ πολλῶν αὐτὸν τέτοκε,*
*τὰς θείας ῥήσεις διὰ πολλῶν μαρτύρων ἀποστολικῶς πιστοῖς ἀνθρώποις*
*παρατιθέμενος. Καὶ τούτῳ πάλιν αὐτὸς διετέλεσε διηκονηκώς, οὐχ ὧν αὐτὸς*
*νήπιος ὁ προαιώνιος Θεὸς δι᾽ ἡμᾶς γεγενημένος ἐδεῖτο—ταῦτα γὰρ τῆς*
*ἀειπαρθένου μόνης τῇ ἁγνείᾳ καθῆκεν—ἀλλ᾽ ἅπερ ἀνδρωθεὶς αὐτῷ ποιεῖν*
*ἐπετείλατο καὶ ἃ δεύτερον ἐπὶ γῆς μετὰ δόξης ὀφθεὶς ἀπαιτήσει, ἃ καὶ*
*Δημήτριος οὗτος ὁ μέγας, αὐτῷ πειθόμενος, διαρκῶς ἐξετέλεσεν. Εὐμενείας*
11r *γὰρ ‖ αὐτῷ πάντων μάλιστα περιῆν καὶ φιλανθρωπίας, ἤ, εἰ βούλεσθε,*
*εὐσεβείας μὲν ἀντὶ τῆς εὐμενείας, φιλοθεΐας δὲ ἀντὶ τῆς φιλανθρωπίας,*
*φημί, οἷς καὶ τὸ πᾶσί τε καὶ πάντων ἀπὸ τοῦ διακειμένου καὶ ἵλεω προσῆν*
*ἀκροᾶσθαι καὶ ὁμιλεῖν καὶ ταῦθ᾽ ὅτε τῷ τῆς ὑπατείας ἀρχῆς ὄγκῳ κατεβρί-*
*θετο ἢ μᾶλλον κατεπυροῦτο· καὶ τῶν προπεμπόντων καὶ παρεπομένων*
*ἀνάγκην εἶχε τῇ δορυφορίᾳ βρενθύεσθαι καὶ τῶν βαρβάρων περιγενόμενος*
*ἦν, καὶ τῶν ἐναντίων ἀφειδῶς κατακόπτων τὰς φάλαγγας, ὑφ᾽ ὧν οὐκ ἐπὶ*
*γῆς βαίνειν καὶ πρὸς γῆν ὁρᾶν ἀλλ᾽ ὑπερνεφεῖν καὶ τὸν αἰθέρα τότε βλέπειν*
*κατηναγκάζετο. Ἐνταῦθα χρηστός, εὐμενὴς φανεὶς ὁ σφριγῶν τῇ νεότητι καὶ*
*τῷ τῆς καρδίας ὀργῶν αἵματι ζέοντι, ἔνθα τοὐναντίον πᾶν καὶ τοῖς παρηκμα-*
*κόσιν ἢ ὠμογέρουσι θαυμαζόμενον φαίνεται, ἢ μᾶλλον, ὑπερηφανείας ἐνταῦθα*
11v *καταφρονήσας, ἔνθ᾽ ὑπερο‖ψία διαφερόντως τιμᾶται. Οὕτω γνησίως καὶ*
*οὗτος ὑπηρετήκει τῷ Θεῷ· καθαρῶς γὰρ εἰς ἑαυτὸν τὸ τῶν θείων ἐντολῶν*
*ἀνῄρηται πρόσχημα, ᾧ συνῆν ἀεὶ καὶ πνευματικῶς, οἷς ἄρτι μὲν θαυμα-*
*τουργῶν, ἄρτι δὲ διδάσκων ἑωρᾶτο πολλούς τε ἦν δι᾽ αὐτῶν τοὺς μὲν τῷ*
*Χριστῷ προσαγόμενος, τοὺς δ᾽ εἰς αὐτὸν στηρίζων τε καὶ σθενῶν, οὐχ ὑπὸ*
*τὸν μόδιον, ἀλλ᾽ ἐπὶ τὴν λυχνίαν τὸν τῆς ἀληθείας λύχνον τιθεὶς καὶ δαι-*
*μόνων αὐτῶν, οὐχ ὅπερ ἐθνῶν, καταστρατηγῶν, ὃ μάλιστ᾽ ἦν αὐτῷ προυρ-*
*γιαίτατον, ὡς μᾶλλον ἀρχιερέα τότε δοκεῖν αὐτὸν ἢ στρατηγόν, ὅπερ ἦν*
*αὐτοκράτορα. Ἐκ γὰρ μικροῦ καὶ οὗτος σπινθῆρος—ἔτι γὰρ ἦν τὰ τῆς εὐσε-*
*βείας ἀπαρρησίαστα—λαμπάδα ταύτης ἀνῆψε τότε περιφανῆ, ἔργῳ μᾶλλον*
*ἢ λόγῳ τὸ κράτος αὐτῆς διδάσκων τῷ προκινδυνεύειν ταύτης ἑλέσθαι καὶ*
*ταύτης εἵνεκα πάντα προέσθαι, γένους λαμπρότητα, νεότητος ὥραν, χρυσόν,*
12r *ἄργυρον, λίθους τιμίους, ἐπαρχίας, δορυφορίας καὶ πανθ᾽ ‖ ὧν ἡττῶνται*
*τῆς ἡδονῆς καὶ τῆς δόξης ἄνθρωποι, ἃ τότε Δημητρίῳ τῷ θείῳ πάντων*

Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 17:57:34 EEST - 18.191.198.107

μάλιστα περιόντα, παρεώρατο. Εἰκότως οὖν ἄρα καὶ προσηκόντως καὶ συνευφημεῖ τοῦτον ἡ νῦν εὐφημοῦσα τῇ Θεομήτορι καὶ παιανίζουσα συγγεραίρει, θαυμαστήν τινα καὶ ὄντως ἐξειλεγμένην τούτοις ἐπινενοηκυῖα τελετὴν πασῶν, ἐξ ἰδίων ἡρμοσμένην τοῦ μέλους, ἐξ ὧν τὸ παναρμόνιον, φαίη τις ἄν, ἐνταῦθα μᾶλλον ἀνακρούεσθαι μέλος. Εἰ δὲ δὴ καὶ παγκάλη τὴν ὄψιν ἡ Θεομήτωρ ἦν—εἴ γε δεῖ καὶ μέχρι τούτου καίν' ἐμβατήσαντα, προϊέναι τὸν λόγον—ἥλιος ἄλλος ἐν κόσμῳ φανείς, ᾧ τὸ θεῖον καὶ πᾶσιν ἀπρόσιτον ἐνοικῆσαν φῶς, τοὺς ἐν τῷ σκότει τῆς δυσσεβείας ἡμᾶς πρότερον ὄντας, λάμψαν πεφώτικε καὶ φωτὸς υἱοὺς ἀντὶ σκότους εἴργασται καὶ σοφίας τῆς ἄνω τὴν ψυχὴν εἶχεν ἔμπλεω, οἵαν ἔπρεπεν εἶναι, τὸν ὡραῖον κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων καὶ τὴν ὄντως σοφίαν, ἣ σωματικῶς ἡμῖν τέτο-
12v κεν. Ἀλλὰ καὶ Δημήτριος || πάντως ὁ θεῖος, ὥρᾳ τε πάσῃ τὸ σῶμα κατηγλαΐσθη, τὴν ὄψιν ὢν εὐπρεπέστατος, φωσφόρος ἄλλος ἐν ἀστράσι πρὸς τοὺς ἑαυτοῦ δοκῶν ἡλικιώτας, ἐξ οὗ χάριν οἶδα τὴν ἔνδον χαρακτηρίζεσθαι—τῷ γὰρ τῆς ὄψεως εὐπρεπεῖ, τὸ τῆς ψυχῆς οἰκουροῦν εὐγενὲς δηλοῦται καὶ χάριεν, ὥσπερ τῷ τῆς οἰκίας περιφανεῖ, τὸ τοῦ οἰκοδεσπότου μεγαλοπρεπές, καὶ θησαύρισμα τὸ ἐγκείμενον τοῦ κιβωτίου τῷ πολυτελεῖ—καὶ πασῶν ἦν ἀρετῶν ἰδέαις ἐμπρέπων, ὡς πάντων τε καὶ ἑαυτοῦ, τοῦ χρόνου, φημί, καὶ τῆς ἡλικίας μειζόνως ὑπερφέρειν, καθάπερ ἔστιν ὅτε καὶ λίθον τίμιον τῇ διαυγείᾳ καὶ τῇ λαμπρότητι καὶ τοῦ μεγέθους ὁρῶμεν ἑαυτοῦ μειζόνως τοῖς εἰδόσι τὰ τοιαῦτα κρίνειν τιμώμενον. Ἀλλὰ μηδεὶς ὑμῶν, ἀπειροκαλίας ἐνταῦθα τὸν λόγον, ὦ πατέρες καὶ μυσταγωγοὶ καὶ φίλοι, καθικετεύω γράψηται, εἰ καὶ τὰ τοιαῦτα παράγει· οὐ γὰρ ἵνα τῇ Θεομήτορι τὸν θεῖον μάρτυρα παραβάλῃ, ταῦθ' οὕτως εἴρηκεν, οὐ γὰρ οὕτω τετύφωται ἢ απονε-
13r νόηται, ὡς καὶ ταῦ||θ' ὁ λέγων ἐννοῆσαι, ἀλλ' ἵν', ἃ ταύτῃ τε ὄντα καὶ τούτῳ τυγχάνῃ, παρ' ἑκάτερον διηγήσηται, ὥσπερ ἂν εἴ τις ἀρίστης δεσποίνης καὶ στρατηγοῦ γενναίου πλεονεκτήματα διηγοῖτο καὶ χάριτας—τῇ γὰρ μετὰ τὸν ὄντως ὄντα τῶν ὄντων ὑπερτέρᾳ παραβαλλόμενον οὐδέν' ἐστὶν εὑρεῖν, ὥσπερ οὐδ' ἀστέρα τῶν ἀπλανῶν, ἢ καὶ πλανωμένων, ἡλίῳ—καὶ ἵνα μᾶλλον ὡς οἷόν τε δείξῃ τῷ τῆς κεχαριτωμένης ὑπερφυεῖ Δημητρίου νῦν τὴν χάριν οὐκ ἀπεικότως συνεορτάζεσθαι. Τοιοῦτος δὲ ὢν ὁ τῶν ἀθλητῶν τοῦ Χριστοῦ μέγιστος καὶ τοσαῦτα καὶ τοιαῦτα τὰ μὲν δράσας, τὰ δὲ παθὼν διὰ τὸν Χριστόν, μή που τῶν αὐτῷ γενομένων ἔλαττον ἢ μικρῷ μεῖζον θεόθεν ἠνέγκατο; Οὐκ ἔστι τοῦτο, οὐκ ἔστιν· ἀψευδὴς ἡμῶν ὁ Θεός, φιλότιμος ὁ Χριστὸς δωρεῖται, χαρίζεται, ὑπερμειζόνως ἀμείβεται, ἐπιβραβεύει τὰς ὑποσχέσεις, προσεπιχορηγεῖ τὰς ἐπαγγελίας. Ταῦτ' ἄρα καὶ τῶν γινομένων τῷ μεγάλῳ τούτῳ τὰς ἀμοιβὰς μυριοπλασιόνας, μὴ ὅτι γ' ἑκατονταπλασιόνας, ἄνωθεν αὐτὸν ἀπειληφέναι νομίζω, τοῦ Χριστοῦ ταύτας αὐτῷ δι' ἀγα-
13v θότητος || πέλαγος ἐπιδαψιλευσαμένου, τάς τε ἄλλας ἀρετὰς δαψιλῶς ὑπὲρ ἅπαντας ἐσχηκότι καὶ τὴν τῆς παρθενίας λαμπάδα μετ' ἐλέους ὅτι πολλοῦ

Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 17:57:34 EEST - 18.191.198.107

*κεκοσμηκότι. Εἴ τις ἀναπεμπαζόμενος οἶδε τὴν ἄνω γενομένην αὐτῷ θείαν
δόξαν καὶ τὴν λαμπρότητα, τὴν ξένην υἱότητα—ξένη γὰρ ὄντως ἡ Θεοῦ
υἱὸν τιθεμένη τὸν ἄνθρωπον—τὴν καινὴν μετὰ Θεοῦ βασιλείαν, τὸν πλοῦ-
τον τὸν ἄφατον, τὴν τρυφὴν τὴν ἀκένωτον, τὴν κάτω πάλιν προσγενομένην
αὐτῷ καὶ πρὸς πατριαρχῶν καὶ βασιλέων προσκύνησιν καὶ μετ' εὐφημίας
αὐτῶν προπομπὴν καὶ δορυφορίαν, μὴ ὅτι γε ὑπάτων καὶ ὑπάρχων καὶ
στρατηγῶν κατ' αὐτὸν αὐτοκρατόρων, τῶν ἐξ ἐκείνου πάντων καὶ ὄντων
βασιλέων καὶ ἐσομένων κρατοῦντι, ὅτι βασιλέως ἑνὸς ἔρωτι θείῳ τιμὰς
ἀπεώσατο, τῶν εὐαγῶν ὑπερλάμπρων οἴκων τὰς μυριάδας, τῶν αἰδημόνων
τὸ πλῆθος πανταχοῦ τῆς οἰκουμένης λατρῶν, ἀνθ' ὧν ἐνταῦθ' ἐκέκτητο, διὸ*
14r *καὶ οἷς μυρίοις τυχὸν ἐλατρεύετο, || ταῦθ' ἃ γῆ τε καὶ πόλος αὐτῷ δωροφο-
ρεῖ, ἧς τε ἐξέφυ καὶ ἣν ἔρωτι τῶν θείων ἀφῆκε καὶ πρὸς ὃν ὑπερφυῶς
ἀναδεδραμήκει, τὸν λόγον προσήσεται. Καὶ παρίημι τὴν τῶν ὕμνων ἐμμέ-
λειαν, τὴν δαψιλείαν τῶν φώτων, τῶν κωδώνων τὸ εὔρυθμον, τἆλλα, οἷς ὁ
τῶν ἀθλητῶν τοῦ Χριστοῦ κόσμος παρὰ τῶν ἀνθρώπων ἀγάλλεται. Τάχα
μὲν τῷ τούτου μειζόνως ἀπόνασθαι, τάχα δὲ καὶ τῷ τοιούτων αὐτὸν ἐμμε-
λῶν ἄνωθεν ᾀσμάτων, καὶ λαμπάδων, καὶ σαλπίγγων καὶ τῶν ἄλλων μου-
σικῶν ὀργάνων εἰθίσθαι κατήκοον τῶν μὲν εἶναι, τῶν δὲ θεατήν, ὅτ' ἐν
σώματι ἦν, καὶ τῶν κοσμικῶν παντάπασιν οὐκ ἀπέστραπτο. Τῶν δὲ μύρων
τὴν ἄβυσσον, τῶν θαυμάτων τὸ πέλαγος, δι' ὧν τά τε ἄλλα τῶν ἀνηκέστων
νοσημάτων καὶ λοιμοὶ λύονται παρὰ δόξαν, θάνατος ἄωρος δραπετεύει,
βαρβαρικά τε στρατεύματα ἀοράτως—ἔστι δ' ὅτε καὶ ὁρατῶς—τῇ μαρτυρικῇ*
14v *τούτου παλάμῃ συγκόπτεται· καὶ τυραννικὸν καταταράσσεται || φρύαγμα,
πῖπτον ἀοράτως εὐθὺς καὶ νεκρούμενον, ἃ τῆς οἰκουμένης ἑκασταχοῦ ἥδι-
στον ὁσημέραι θέαμα καὶ τερπνότατον ἄκουσμα πρόκειται. Εἴ τις οὖν πάλιν
ταῦτ' ἄνωθεν ἐς δεῦρ' ἀναπεμπάζοιτο, τὸν λόγον ἔτι μᾶλλον προσήσεται.
Πόσων ἐκείνων ἀξιώτερα ταῦτα εἰσὶ μυριάδων; Ὅσων ἔμοι γε δοκεῖν
μικρᾶς ψηφῖδος μεγίστη σμάραγδος, τῆς εὐπορίστου καὶ παισὶν εὐώνου, ἡ
πολύτιμος καὶ σχεδὸν δυσπόριστος, ἅπασιν, ὅταν τις ταῦτα καὶ ἀνθρωπίνως
ὁρᾷ. Οὕτως, ὅπερ εἶπον, μυριοπλασίονα τῶν παραθέντων τὰ εὑρημένα τῷ
μεγάλῳ εἰσὶ καὶ θαυμαστῷ Δημητρίῳ καὶ δαψιλῶς οὕτως ὁ Θεὸς οἶδεν ἀμεί-
βεσθαι τοὺς αὐτοῦ τοῖς θείοις χρησμοῖς πιστεύοντας καὶ τοιαύτας ἄνωθέν τε
καὶ κάτωθεν τὰς ἀντιδόσεις ἀπέχουσιν, οἱ μόνα τὰ κάτω διὰ τὸν ὄντως ὄντα
Θεόν, τὸν Χριστόν, βδελυξάμενοι.*

*Ἀλλὰ ταῦτα μὲν ἐνταῦθ' ἐῶμεν, ἔξω τέ μοι δοκεῖν καὶ οὐκ ἔξω τῆς
προκειμένης ὑποθέσεως ὄντα. Περὶ δὲ τῆς ἑορτῆς καὶ ἱερᾶς τῆς παρούσης*
15r *προσόδου, βραχέ' ἄττα λέγομεν, εἰ || δοκεῖ, ὅθεν τε τὴν ἀρχὴν ἔσχε καὶ τίνα
τὸν τρόπον οὕτως ἐπενοήθη, ἔχει δὲ οὕτω. Καὶ σκοπῶ μὲν πρὸς τοὺς οὐκ
εἰδότας δὲ—εἰ ἄρα που καί τινες εἶεν—ὁ λόγος ὡς νουνεχῶς, ὡς εὐσεβῶς
καὶ θεοφιλῶς καὶ ὡς τῶν τὴν ἀρχὴν ταύτην ἐπινενοηκότων ἀξίως. Σέβει*

Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 17:57:34 EEST - 18.191.198.107

*μὲν τὸν μέγαν ἀθλητὴν ἡ τοῦτον ἐνεγκαμένη πόλις καὶ διὰ παντὸς τοῦ ἔτους, δι᾿ ἃς ἄνωθεν ἀπέχει παρ᾿ αὐτοῦ δωρεάς τε καὶ χάριτας, σέβει δὲ αὐτὸν οὐκ ἐρραστωνευμένως ἀνυμνοῦσα καὶ δὶς τοῦ ἐνιαυτοῦ τῶν ἑβδομάδων ἑκάστης, ἔν τε τῇ πρώτῃ ταύτης τῶν ἡμερῶν, ἣν Κυριακὴν ἐξαιρέτως —δι᾿ ἣν ἴσμεν σωτήριον ἐν αὐτῇ τοῦ Κυρίου πᾶσιν Ἀνάστασιν γενομένην— καλοῦμεν, καὶ τῇ Τετάρτῃ, καθ᾿ ἣν ὁμοίως αὐτὸν ἴσμεν δι᾿ ἡμᾶς τοῖς ἀνόμοις προδεδομένον. Τῇ μέν, ὅτι χριστομιμήτως τὴν πλευρὰν καὶ οὗτος ἑκὼν ἐνύγη, τούτῳ μόνον ἐνταῦθα τοῦ Σωτῆρος εἴθ᾿ ὑστερήσας εἴτε πλεονεκτήσας, οὐκ ἔχω φάναι, τῷ μυριότρωτον ταύτην σχεῖν, τῇ δ᾿ ὅτι κατ᾿ 15v αὐτήν, ὥς φασι, τὴν Τετάρτην, || τήν τε πρώτην αὐτὸν καὶ κάτω γέννησιν ἐσχηκέναι καὶ τὴν δι᾿ αἵματος ἀναγέννησιν ἑκόνθ᾿ ὕστερον εἰληφέναι, δι᾿ ἧς εἰς οὐρανοὺς ἀνελθών, ἀθανάτως πολιτεύεται ζῶν, τὴν ἑαυτοῦ πόλιν καὶ πάσας ἐποπτεύων ἐκεῖθεν. Οὐ μὴν ἀλλ᾿ ὢ τῆς εὐνοίας, κἂν τῷ τῆς Θεομήτορος τούτῳ νεῴ παραπλησίως ἐν τῇ τῶν ἡμερῶν ἕκτῃ γίνεται, ἐν ᾧ καὶ καθ᾿ ἣν ἑορτάζειν ἑκάστοτε πρὸς τῷ δεσποτικῷ πάθει τὴν τοῦ Θεοῦ παρειλήφαμεν μητέρα, ὅτι τῷ σταυρῷ τότε κατ᾿ αὐτὴν τοῦ Σωτῆρος παγέντι τοῖς ἰουδαίοις παρίστατο καὶ τὰ μητρικὰ τῷ υἱῷ συνέπασχε σπλάγχνα, συνεορτάζειν γὰρ ἡ πόλις αὐτῇ καὶ τὸν χριστομίμητον διὰ ταῦτα καλῶς ἐπενόησε μάρτυρα. Τούτου τοίνυν αὐτῇ διὰ παντὸς γινομένου τοῦ ἔτους, ἐπειδὴ καὶ νηστείᾳ τὸν πολιοῦχον ταύτης ἡ πόλις ἐπετείῳ σεμνύνει, τὰς ψυχὰς ἑαυτῶν ἐντεῦθεν ἁγνίζοντες καὶ τὰ σώματα, ἀρχὴν ἐχούσῃ τὴν τοῦ μηνός, καθ᾿ ὃν ἡ τούτου γέγονεν ἄθλησις, ἀρχήν, ὃ ταύτης ἐν ταῖς Κυριακαῖς καὶ ταῖς Τετράσι ποιεῖ, 16r κανόσι || γὰρ ξένοις μέλεσι μεμελῳδημένοις παιανίζει τὸν καλλίνικον καὶ καθικετεύει προεορτάζουσα. Τοῦτο δεῖν ποιεῖν ἐπέγνω καὶ κατὰ τὴν πρὸ τῆς τοῦ μεγάλου τούτου κυρίας τελετῆς ἕκτην τῆς ἑβδομάδος συμπίπτουσαν μελῳδεῖ δὲ κἂν ταύτῃ καὶ παιανίζει, τῇ Θεομήτορι τούτου συμπροεορτάζουσα, μέλεσιν ἡδίστοις ἄρρητα μέλη συμμίξασα, θεῖα μαρτυρικοῖς.*

*Ἔχει μὲν οὕτω ταῦτα καὶ τοῦτον τὴν ἀρχὴν ἡ ἑορτὴ συνέστη τὸν τρόπον. Τίνα δὲ τὰ ἐντεῦθεν δυοῖν τῶν αἰσθήσεων ταῖν κυριωτάτοιν, ἀκοῇ καὶ ὄψει; Τέρψις συμβαίνει καὶ ἔκπληξις. Τέρπεται μὲν γὰρ ἐνταῦθα τῶν παρόντων ἡ ἀκοή, ᾄσματα θεῖα καὶ τῶν σειρηνείων ὑπέρτερα κλύουσα, ἐκπλήττεται δὲ ἡ θέα, τὸ πάντων ἐπέκεινα θεωμένη θέαμα, οὐχ ὅτι τὸν θεῖον ἐν μάρτυσιν ἥρω, Θεοῦ Μητρὶ τῇ πανάγνῳ, ἐν τοῖς ἑαυτῶν ἕδεσιν ὁρᾷ συνόντα —ἀστέρ᾿ ἄν τις φαίη πυρόεντα σελήνῃ παμφαεῖ συστηρίζοντα ἢ μαργάρου 16v λαμπρότητα, λίθου φαιδρότητι συναυγάζουσαν, || τοῦτο γὰρ καὶ ἡδύ τε καὶ εὔχαρι καὶ ἱερόν ἐστι θέαμα—ἀλλ᾿ ὅτι τὴν μὲν τοῦ κόσμου παντὸς προστάτιν, ὄρθιον, ὢ θέαμα πάντας ἀτεχνῶς ἐκπλῆττον, ὅλην ἐναγώνιον, ὥσπερ ἑστῶσαν, ὅλας χεῖρας ἀνατείνουσαν ἱκεσίους, πρὸς τίνα δὲ καὶ ὑπὲρ τίνος, ἢ πρὸς ὃν ἀρρήτως αὐτὴ Θεὸν ἔτεκε καὶ ὑπὲρ οὗ τὸ οἰκεῖον αὐτὸς ἐξέχεεν αἷμα, ἄνθρωπος δι᾿ αὐτὸν γενέσθαι συγκαταβάς, τὸν δὲ ἀριστέα τοῦ Χρι-*

Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 17:57:34 EEST - 18.191.198.107

*στοῦ Δημήτριον, ὁπλοφόρον αὐτῇ παριστάμενον, τὴν λόγχην κατέχοντα, τὸ*
*φάσγανον φοροῦντα, ὅλον ἀνδρικόν, ὅλον εἰς ἀντιπάλων ἄμυναν ἕτοιμον,*
*μονονουχὶ τοὺς ἡμῶν δυσμενεῖς ἀφειδῶς κατακόπτοντα, παρὰ τοσοῦτον οὐ*
*κινοῦντα τὴν λόγχην, παρ᾽ ὅσον τὴν ἐξ ἱκεσίας θεομητορικὴν δικαίαν ἔστι*
*ῥοπὴν ἀναμένων. Ἡ μὲν γάρ, ὡς Θεοῦ μήτηρ, θερμῶς ὑπὲρ ἡμῶν λιπα-*
*ρεῖ, Θεὸς δὲ αὐτοῦ οἶδ᾽ ὅτι τῆς μητρὸς εὐμενῶς τῆς προσκλήσεως ἐπα-*
*κούων, χωρεῖν ἡμῶν κατ᾽ ἐχθρῶν ἐπιτάξεται τῷ ἑαυτοῦ μάρτυρι· φιλάν-*
17r *θρωπος γάρ. Ὁ δὲ γενναῖος οἷα θεῖος ὁπλίτης, ἡμῖν στερρῶς προσ|ταγεὶς*
*ἐπαμυνεῖ—φιλόπατρις γὰρ τὴν διάνοιαν—πρὸς Θεὸν ἐσχηκόσι. Τί τῆς ἀκοῆς*
*προσηνέστερον ταύτης; Τί τῆς θέας ἐκπληκτικώτερον ταύτης; Τίνα γὰρ ἄν*
*τις ἄλλῳ ἢ τὴν τῶν δυσμενῶν ἐλπίσαι καταβολὴν ἢ τὴν ἑαυτοῦ σωτηρίαν*
*θαρρῆσαι, ἢ τῷ θεάματι τούτῳ; Ὅταν γὰρ ἡ μὲν πάναγνος τοῦ Θεοῦ Μή-*
*τηρ ἱκέσιος ἱσταμένη φαίνηται, ὁ δὲ καλλίνικος θεῖος μάρτυς ἔνοπλος παρ᾽*
*αὐτῇ, πῶς οὐ φανὰς ἔχειν τὰς ἐλπίδας τοὺς τούτων ἱκέτας καὶ ὑμνητὰς χρή;*
*Τίνων γὰρ ὑπὲρ ἄλλων ἢ τούτων οὕτως εἰσὶν ἔχοντες ἐναγώνιοι, Θεοῦ Μή-*
*τηρ ἀληθὴς καὶ χριστομίμητος ὄντως ἀθλητής;*
*Αὕτη τῆς προεορτίου ταύτης ἑορτῆς ἡ ἀρχή, τοῦτο ταύτης τὸ αἴτιον,*
*οὗτος τῆς συνθήκης τῶν ᾀσμάτων ὁ τρόπος, δι᾽ ἃ οὐκ οἶδ᾽ εἴτε τὰ τῆς πό-*
*λεως ἐνταῦθα μᾶλλον θαυμάζειν τολμήματα, εἴτε τὸ τῶν ἔργων ἦθος ἀσπά-*
*σασθαι χρή. Τοσαῦτα καὶ τοιαῦτα Δημητρίου τοῦ θείου τὰ προεόρτια, θείας*
*ἑορτῆς τῷ ὄντι καὶ θυμηδίας ἔμπλεα τοῖς ἅπασιν ὄντα, ὧν ἡ παροῦ-*
17v *σα || προεόρτιος χάρις οἷα κολοφὼν ἐστὶν ἢ κεφάλαιον, οὐ τῷ τοῖς ᾄσμασι*
*μόνον ἐκείνων ταύτην πλεονεκτεῖν, ἀλλὰ τῷ καὶ τὴν κυρίαν αὐτῶν ἑορτὴν*
*εὐθὺς μετ᾽ αὐτὴν ἡλίου δίκην ὡς ἡμᾶς ἀκτινοβολοῦσαν καὶ καταυγάζουσαν*
*ἀπαντᾶν. Εἰ δὲ τὰ προτεμενίσματα λίαν καλὰ καὶ λόγου κρείττω, ποῖόν τινα*
*τούτων εἶναι νομίζειν δεῖ τὸν ναόν, καὶ τίς ἂν αὐτοῦ τῶν ἀδύτων κατατολ-*
*μήσειε; Καὶ εἰ Δημητρίου, πάλιν λέγω, τὰ προεόρτια, οὕτω πάγκαλα, οὕ-*
*τως ὑπερθαύμαστα, τὴν τούτων κυρίαν καὶ δι᾽ ἣν οὕτως αὐτὰ προτελεῖται,*
*τίς ἄν, εἰ μὴ προδήλως μέμηνεν, εὐφημῆσαι λόγῳ θαρρήσειε; Καὶ πολλῷ*
*γε μᾶλλον τὴν ξύμπασαν συνελών, ἣ τῆς οἰκουμένης τῇ μετὰ θαύματος φήμῃ*
*τὰ πέρατα δίεισι καὶ ἣ τὴν ἐγκόσμιον τάξιν τῷ εὖ αὐτῆς διὰ πάντων ἡρ-*
*μοσμένῳ μιμεῖται; μῆνα μὲν ὑπὲρ ὅλον συνεχῶς ὑμνουμένη, δώδεκα δ᾽ ἐν*
*τῷ μεταξὺ προεορτίοις ἑορταῖς καὶ μεθεόρτῳ ὑπὲρ ἑορτὴν ἑκάστη, ταῖς μὲν*
18r *διωρισμένως ταῖς δὲ συνεχῶς ὑπερυμνου|μένη, ἧς ἑκασταχόθεν ἀκοῦσαι πάν-*
*τες ἐπείγονται, καὶ ἧς τοῦ μέλους ἡδονὴ πᾶσα καὶ τέρψις ἡττᾶται; Ἧι πα-*
*ραβαλεῖν ἑτέραν οὐκ ἔνι, καὶ ᾗ μοι δοκεῖν καὶ τὰ ὑπερκόσμια πάντα συνή-*
*δεσθαι, ἣν θαυμάζουσι μετ᾽ ἐκπλήξεως, καὶ ἣν ὄψεσθαι πάντες ἐφίενται—*
*ἀκοῇ γὰρ αὐτὴν ἀξίως οὐ δεδύνηνται γνῶναι—καὶ ἣν οὐδέσι ποτὲ μιμή-*
*σασθαι ἐξεγένετο, τῷ φρονήσεως ἀποδεῖν παιδείας τε ἡμῶν καὶ ᾠδῆς, ἧς*
*καὶ πρὸ πάντων ἔγωγε τοσοῦτον ἡττημένον ἐμαυτὸν ἥγημαι, ὅτι οὐδέ, περὶ*

Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 17:57:34 EEST - 18.191.198.107

*οὗ τοῦ παρόντος αὐτῆς μέρους τὸν λόγον ἐνεστησάμην, εἰπεῖν τι κατ᾽ ἀξίαν*
*θαρρῶ, πλὴν εἴ τις ἑκάστῳ τὸ δυνατόν, ἄξιον ἐν ἅπασιν εὐγνωμόνως ἐρεῖ*
*—ὃ καὶ Θεῷ φίλον—καὶ ὅπερ ἡμῖν ἐνταῦθα σὺν ὅτι πολλῇ τῇ προθυμίᾳ*
*συνεισήνεκται. Κἀκεῖνο δὲ περὶ αὐτῆς—θαρρῶ δ᾽ ὅτι καὶ προσηκόντως—*
*εἰπεῖν, οὐ παραιτήσομαι. Ταύτην, οἷς μὲν ἐπιπολαίως ὁρᾶν συμβαίνει,*
*καθάπερ τοῖς αἰσθήσει ζῶσι, τὴν ἐπιφάνειαν, περαιτέρω δὲ μηκέτι χωρεῖν*
18v *τὴν διάνοιαν ἐμβαθύνουσι, || θαυμαστή τε μόνον καὶ ὄντως ἐπαινετὴ πόλις*
*ἡ ταύτην οὕτω τελοῦσα καὶ πόλεις ὑπὲρ ἁπάσας εἶναι δοκεῖ, ὅτι τὸν δεσπό-*
*την ταύτης καὶ πολιοῦχον σὺν ὅ τι πολλῇ τῇ ῥαστώνῃ σέβειν εὐνοϊκῶς οὕτως*
*οἶδεν, ὡς καὶ μειζόνως ἢ κατὰ θεῖον μάρτυρα δοκεῖν αὐτὴν τοῦτον γεραί-*
*ρειν. Οἷς δὲ καὶ τὸν ἑορταζόμενον ταύτῃ θεῖον ὁπλίτην, ἡλίκος ἐστὶν ἄνω-*
*θεν, ἐννοεῖν ἔπεισιν ὅσα τε διὰ τὸν ἑαυτοῦ καὶ πάντων δεσπότην ἐν γῇ*
*παρεῖκεν ἑκὼν καὶ ὅσ᾽ εὕρετο ἐν οὐρανῷ τε καὶ γῇ, τὰ μὲν ἀνεννόητα, τὰ*
*δ᾽ ἄρρητα, καὶ ὅσα καὶ οἷα τῇ τοῦτον οὕτως ἑορταζούσῃ πόλει, εὖ ἀεὶ ποιῶν,*
*διδούς τε καὶ ἀνταποδιδοὺς καὶ κοινῇ διατελεῖ καὶ καθ᾽ ἕκαστον, θαυμάζειν*
*μᾶλλον αὐτὸν καὶ γεραίρειν ἐστί, τὴν ἄνωθεν ἐν πᾶσιν αὐτοῦ τῶν τρόπων*
*εὐκολίαν θαυμάζουσι, καὶ τὴν ἀπαράμιλλον γενναιότητα, τὴν εὐμένειάν τε*
*καὶ τὸ φιλόπατρι, ἢ τῆς οὕτως αὐτὸν ὑμνούσης πόλεως τὴν προθυμίαν ἐπαι-*
*νεῖν καὶ τὴν ἐξ εὐνοίας δυνατὴν ταύτης ἀντίδοσιν, ὁποῖόν τι καὶ τοῖς βαθὺ*
19r *λήϊον νουνεχῶς || ὁρῶσι συμβαίνει καὶ γηπόνους αὐτοῦ φιλοτίμως ἐπιμε-*
*λουμένους, τούτους οὐ μᾶλλον ἢ τὴν ἄρουραν ἐπαινεῖν, ἐκεῖνο δήπουθεν*
*ἐννοοῦσιν, ὡς ἡ πάνυ ταύτης τῶν καρπῶν φορά, πονεῖν ἐκείνους ἀεὶ περὶ*
*ταύτην ποιεῖ καὶ γλυκεῖαν ἐν αὐτῇ τέμνειν αὔλακα καὶ δαψιλῶς καταβάλ-*
*λειν τὰ σπέρματα, τῶν πόνων ἐκεῖθεν ἐνδεχομένους οὐ μικρῶς ἐσαῦθις*
*ἀπόνασθαι· ἄλλως μὲν γὰρ αἴσθησις ἐπιπολαίως τοῖς φαινομένοις ἐμβάλ-*
*λουσα, ταῦτα λογίζεται, ἄλλως δὲ αὐτοῖς ἐμβαθύνουσα διάνοια κρίνει. Ὃ δὲ*
*ἡμᾶς μικροῦ καὶ παραδραμεῖν ἐπιλελησμένους, ὥσπερ οὐκ ὂν ἐνίοις δοκεῖ,*
*ἐκεῖνο δὴ νῦν μόνον εἰπών, καταλύσω τὸν λόγον καὶ ἣν δὲ μετὰ τὴν παροῦ-*
*σαν προεόρτιον χάριν μετὰ καλοῦ τοῦ προσχήματος ἡ πόλις αὐτῷ ξύμπασα*
*κοσμίως εὖ μάλα ἐπέτειον ἱερὰν ποιεῖται καὶ θείαν πομπήν, ἧς οὐδεπώ-*
*ποτε παρ᾽ οὐδέσιν ἐξ ἴσου γέγονεν, ἢ ἐγγύς, οὐδ᾽ οὕτω κατ᾽ αὐτὴν μεγαλο-*
19v *πρεπής. || Τίς ταύτης οὐ θαυμάζει τὴν χάριν, οὐκ ἔχω εἰπεῖν, ἢ τὴν τόλμαν,*
*ἡ διὰ τῆς λεωφόρου, ἐκ τῆς οὕτω λεγομένης Καταφυγῆς, διὰ τὸ τοῦτον*
*ἐκεῖσε τὸν ἀριστέα, ὑπόγεῳ γάρ εἰσιν ἐνταῦθα στοαί, κατὰ τήν, ὅταν ἐντεῦ-*
*θεν ἡμᾶς διώκωσιν, ἐκεῖσε ἰέναι κελεύουσαν ἐντολήν, ζητούμενον μέν, τόπον*
*δὲ τῇ ὀργῇ—κατὰ τὸ γεγραμμένον—διδόντα, καταπεφευγέναι μικρὸν ἀπο-*
*κρυπτόμενον, εἰς τὸν θεῖον τούτου καὶ περιβόητον ναόν, μετ᾽ ᾠδῆς πρόεισ*
*καὶ θείου παιῶνος καὶ φωτοχυσίας ὅτι πολλῆς, ὡς καὶ πάσας φωτὶ τὰς*
*ἀγυιὰς καταστράπτεσθαι, τὸ τούτου χριστομίμητον ἐξεικονίζουσα πάθος καὶ*
*τὴν ἐκεῖθεν εἰς τὸ μαρτύριον αὐτοῦ μετὰ πομπῆς ἀγωγήν, οἵαν ἐπὶ περιφα-*

Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 17:57:34 EEST - 18.191.198.107

νεῖ τότε καὶ μεγάλῳ στρατάρχῃ, μεταβαλεῖν ἐκ τῆς πατρῴας δόξαντι θρησκείας ἔδει γενέσθαι. Περιφανῆ γὰρ τοῖς περιφανέσι καὶ τὰ γινόμενα, κἄν τε τῆς κρείττονος, κἄν τε τῆς ἐλάττονος ὄντα τύχῃ μοίρας, τοῦθ᾿ ὅπερ καὶ 20r τῷ Σωτῆρι τῶν ὅλων Χριστῷ καθ᾿ ἑκάστην πρὸς τῶν || ἱερέων ἐν ταῖς θείαις ἱεροτελεστίαις ὁρᾶται γινόμενον, τὴν αὐτοῦ προδοσίαν καὶ τὸν ἐν αὐτῷ τῶν ἀνόμων ἐξεικονίζον θεατρισμόν. Ἃ γὰρ ἐφ᾿ ὕβρει πάλαι καὶ χλεύῃ τῶν ἁγίων καὶ αὐτοῦ, φημί, τοῦ τῶν ἁγίων ἁγίου, τῇ τοῦ πονηροῦ συναγωγῇ κακῶς ἐφεύρηται, ταῦτ᾿ ἐπὶ τιμῇ τούτων καὶ δόξῃ, τῇ τοῦ Θεοῦ τῶν ὅλων ἐκκλησίᾳ καλῶς ἐπινενόηται σέβεσθαι, τῶν μὲν δεδρακότων εἰς ἔλεγχον, δόξαν δὲ τῶν πεπονθότων.

Ἀλλ᾿ ὦ Μῆτερ Θεοῦ τοῦ ὄντος, Σὲ γὰρ εἶναι τῷ ὄντι θεοτόκον ὁμολογοῦντες πιστεύομεν, τὸν ἕνα τῆς Τριάδος ἀρρήτως ἡμῖν τετοκυῖαν Θεόν! Ἡ τῷ Θεῷ πάλαι προορισθεῖσα καὶ χωρητικὴ γενέσθαι τοῦ πληρώματος αὐτοῦ τῆς θεότητος διὰ καθαρότητος ὑπερβάλλον ἀξιωθεῖσα, ἡ οὐράνιος ἐντεῦθεν καὶ θεία παστὰς καὶ θεῖος θρόνος καὶ θεία σκηνὴ καὶ Θεοῦ βασιλεία καὶ θάλαμος ἔμψυχος καὶ θεοπρεπὲς αὐτοῦ ταμιεῖον καὶ οὖσα καὶ τοῖς θείοις ἀνδράσιν οὕτω κεκλημένη, τὸ τῶν θείων τε καὶ τῶν ἀνθρωπίνων 20v χαρίτων πρυτανεῖον, τῆς ἁμαρτίας ἡμῶν τῶν προπα||τόρων ἡ λύσις, τῆς εὐγονίας ἡμῶν τοῦ γένους ἡ καταρχὴ—τῷ γὰρ θείῳ σου τόκῳ τῆς γῆς ἡμῶν τὸ γένος ἀπαναστῆναι καὶ προειρημένον οὐράνιον ἀντ᾿ ἐπιγείου γενέσθαι προυξένησας—ἡ τῶν ὅντινα οὖν χειμαζομένων χειμῶνα λιμὴν ὁ εὐδιεινότατος καὶ πάντων ἁπλῶς ἁμαρτανόντων τὸ μέγα κρησφύγετον· εἶ γὰρ ἡμῶν τοῦ γένους θερμὸν ἱλαστήριον καὶ σεμνὸν ἐγκαλλώπισμα καὶ βάθρον σωτήριον. Καὶ ὦ τῶν ἀριστέων Χριστοῦ τὸ μέγα καὶ θειότατον ὄνομα, Δημήτριε, ὃν ὑπερβαλλόντως πεφίληκας, ᾧ γνησίως ἠκολούθηκας, οὗ τοὐπίταγμα πᾶν ἐκτετέλεκας, δι᾿ ὃν τῶν ἐνταῦθα τοῦ βίου τερπνῶν ὠλιγώρηκας. Πλούτῳ γὰρ οὔκουν ῥέοντι καὶ δόξῃ λυομένῃ, ἀλλ᾿ ἑστῶτι καὶ μένοντι τῇ σῇ καρδίᾳ προσέθου, καὶ δι᾿ ὃν ἑκοντὶ πρὸ ὥρας τὸ σόν, θανών, ἐξέχεας αἷμα, πρὸς ὃν χαίρων ἀνῆλθες, ἢ ἐπανῆλθες. Ἐκεῖθεν γὰρ ἰέναι τὸ πρῶτον ἐνταῦθ᾿ ἀληθῶς δοκεῖς διὰ γεννήσεως, κἀκεῖθεν δι᾿ ἀναγεννήσεως ἐπανιέναι 21r μαρτυρικῆς. Ὁ τῆς σῆς Θεσσαλονίκης τὰς μὲν εὐδο||ξίας αὔξων, μαραίνων δὲ τὰς ἀδοξίας καὶ σύμπαν αὐταῖς, ὡς εἰπεῖν, διαφθείρων τὸ βλάβος· προστάτης γὰρ εἶ ταύτης καὶ πρόβολος καὶ φύλαξ καὶ σωτὴρ καὶ φερέγγυος φρουρὸς καὶ πολιοῦχος καὶ εἴ τι σωτήριον ἕτερον ὄνομα. Ὁ σιδήρου παντὸς καὶ ἀδάμαντος τὴν γνώμην καὶ τὴν πίστιν στερρότερος, ὁ τῆς ἀληθείας ἀγωνιστής, ὁ μέγας ἀριστεὺς καὶ καλλίνικος μάρτυς καὶ συμπαθέστατος, ὁ τοῖς ἐπικαλουμένοις σὲ πᾶσί τε καὶ πανταχοῦ ταχέως παρὼν καὶ τὴν αἰτουμένην παραχρῆμα τούτοις βραβεύων ἄρηξιν. Οἱ κοινῶς φάναι τοῦ κόσμου προστάται, τῶν πιστῶν ἀντιλήπτορες, τῆς οἰκουμένης φρουροὶ καὶ τῆς ἐξαιρέτως ὑμᾶς κοινῇ ταύτης ὑμνούσης πόλεως ἀρωγοί, τὴν προεόρτιον ταύ-



Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 17:57:34 EEST - 18.191.198.107

*την ἑορτὴν καὶ τὴν διὰ ταύτης ἀντιβολίαν, ὡς εὐμενεῖς καὶ Θεὸν τῶν ὅλων
μιμούμενοι τὸν φιλάνθρωπον, προσιέμενοί τε καὶ ἐνδεξάμενοι, ἡ δαψιλῶς
οὕτω καὶ φιλοτίμως ὑμῖν αὐτὴν ἐκτελεῖ πόλις, ἡ φιλόθεος ὁμοῦ καὶ φιλό-*
21v *μαρτυς || καὶ φιλέορτος. Τῆς σοφίας τὸ ταμιεῖον, τὸ δοχεῖον τῆς εὐσεβείας,
τῆς πίστεως ἡ στάθμη, τὸ πάντων ἁπλῶς τῶν καλῶν, θείων, λέγω, καὶ ἀν-
θρωπίνων σεμνὸν καταγώγιον, τὴν ὑμῶν, φημί, πόλιν, τὴν περίφημον Θεσ-
σαλονίκην, παντὸς ἀνιαροῦ καὶ πάσης βλάβης καὶ πάντων δυσμενῶν ἐπιθέ-
σεως ῥύοισθε, τὰ λυμαινόμενα μὲν ταύτην ἀποσοβοῦντες, τοὺς ἀντιπάλους
αὐτῆς καταπολεμοῦντες, οἳ τῷ μεγέθει τῶν αὐτοῖς κακῶς πεπραγμένων με-
θύουσί τε καὶ μαίνονται. Καὶ ἃ κατὰ τῆς αὐτῶν τρέψαιτο κεφαλῆς, καθ᾽
ὑμῶν ὀνειροπολοῦσι καὶ συσκευάζουσι. Παρεχόμενοι δὲ τὰ συνοίσοντα κατ᾽
ἀμφότερα, λέγω τὴν ἄφθαρτον ψυχὴν καὶ σῶμα τὸ φθειρόμενον, καὶ τὸ πᾶ-
σιν αὐτὴν ἀγαθοῖς εὐθενεῖν τε καὶ εὐδοξεῖν· εὐνομίᾳ τε χρῆσθαι καὶ πρὸ
πάντων εὐαγγελικῶς πολιτεύεσθαι. Ταῦτα γὰρ ἡμεῖς τε ὑμᾶς εὐνοϊκῶς
ποτνιώμεθα καὶ ταῦθ᾽ ὑμεῖς ἡμῖν εὐμενῶς δοίητε Θεοῦ φιλανθρωπίᾳ καὶ*
22r *χάριτι· ὃν ἡ μὲν σωματικῶς ἡμῖν ὑπὲρ ἔννοιαν τέτοκας, || ὁ δὲ μετὰ σώμα-
τος ὑπὲρ ἄνθρωπον, ἢ κατ᾽ ἄνθρωπον μᾶλλον τὸν ὄντως εἰπεῖν, τεθεράπευ-
κας· καὶ οὐ πᾶς ὕμνος καὶ πᾶσ᾽ εὐφημία καὶ λόγος ἅπας ἡττᾶται, οὐ τῶν
ἐγγείων μόνον, ἀλλὰ καὶ τῶν ὑπὲρ αὐτά τε καὶ ὑπερουρανίων καὶ ᾧ πᾶσαν
πρέπειν ὑπερβαλλόντως δόξαν πιστεύομεν καὶ προσκύνησιν, ἅμα τῷ ἀνάρχῳ
τούτου Πατρὶ καὶ Πνεύματι τῷ συναϊδίῳ, ἐν οἷς μία θεότης ἡ τρισυπόστα-
τος σέβεται, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 17:57:34 EEST - 18.191.198.107